1 *εκπεμφθεντων*] *εκπεφθεντων* A (ähnliche Schwankungen in der Orthographie bei *μ* vor Labialen vgl. 12 2 *συλλημψομενους* u. *συλλημφθεντες*, sowie 13 *απροσωπολημπτως*) | *του του*] A; *του* C | **2** *την*] A; om. C | *εγνω*] L übersetzt, als hätte er gelesen: *γνους κτλ.* oder *και γνοντος του βασιλεως κτλ.* | *της γης*] civitatis Jericho L | **3** *αυτων*] om. L | *και*] om. L | *εξεπεμψεν*] A; *επεμψεν* C; dub. LS | *συλλημψομενος, συλλημφθεντες*] *συλλημψομενους, συλλημφθεντες* A; *συλλημψομενους, συλλημφθεντες* C | **4** *οπως συλλημφθεντες θανατωθωσιν*] L einfach et occiderent (als ob *και θανατωσοντας*) | **6** *υπο την λινοκαλαμην*] domus suae L | **7** *λεγοντων*] AC; add. ei LS | **8** *αυτους*] add. et moriantur L | *ουτως*] .. *τως* A; *ουτω* C (L übersetzt *ουτως κελευει*: hoc . . . jussit) | **9** *ἥδε*] L (illa); *ἡ δὲ* CS; dub. A **10** *αλλα*] *αλλ'* C; vac. A | *απηλθον*] A; *εξηλθον* C; dub. LS | **11** *εναλλαξ*] A hat nach Tisch. *εκ . . . . .* | *εναλλαξ*] add. et sic illos avertit L | *ειπεν*] add. Raab L | *ανδρας*] homines Israhelitas quos absconderat L | **12** *εγω*] AS; om. CL | *θεος*] add. *υμων* A | *παραδιδωσιν*] tradet L (doch vgl. das zu S. 102 Z. 12 bemerkte und Prol. S. 43) | *την γην*] CLS; [*την πο*]*λιν* A | **13** *φοβος, τρομος*] *τρομος, φοβος* S | **14** *αυτην*] AC; terram S; terram istam L *εαν*] A; *αν* C | *γενηται . . . υμας*] erit vobis L | **15** *αυτ*ῃ] om. L | **16** *ελαλησας*] A; *λελαληκας* C | *ημιν*] om. L | *ως*] in S nicht übersetzt | *εαν*] A; *αν* C | *παραγινομενους*] *παραγενομενους* C | **17** *παντας τους σους*] L hat nur omnes *το στεγος*] CL (domum); *το τεγος* (oder vielmehr *τοτοεγος*) A; tectum domus S | *σου*] om. C | **18** *οσοι γαρ*] et omnes illi qui (*και οσοι*) S | *εαν*] *αν* C | *ευρεθωσιν*] erunt L | *οικιας*] add. tuam L.

ἀπολοῦνται. 7. *καὶ προσέθεντο αὐτῇ δοῦναι σημεῖον, ὅπως ἐκκρεμάσῃ ἐκ τοῦ οἴκου αὐτῆς κόκκινον, πρόδηλον ποιοῦντες ὅτι διὰ τοῦ αἵματος τοῦ κυρίου λύτρωσις ἔσται πᾶσιν τοῖς πιστεύουσιν καὶ ἐλπίζουσιν ἐπὶ τὸν θεόν.* 8. *Ὁρᾶτε, ἀγαπητοί· ὅτι οὐ μόνον πίστις ἀλλὰ καὶ προφητεία ἐν τῇ γυναικὶ γέγονεν.*

XIII. *Ταπεινοφρονήσωμεν οὖν, ἀδελφοί, ἀποθέμενοι πᾶσαν ἀλαζονείαν καὶ τύφος καὶ ἀφροσύνην καὶ ὀργάς, καὶ ποιήσωμεν τὸ γεγραμμένον· λέγει γὰρ τὸ πνεῦμα τὸ ἅγιον· Μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ μηδὲ ὁ ἰσχυρὸς ἐν τῇ ἰσχύϊ αὐτοῦ μηδὲ ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ, ἀλλ' ὁ καυχώμενος ἐν κυρίῳ καυχάσθω, τοῦ ἐκζητεῖν αὐτὸν καὶ ποιεῖν κρίμα καὶ δικαιοσύνην· μάλιστα μεμνημένοι τῶν λόγων τοῦ κυρίου Ἰησοῦ, οὓς ἐλάλησεν διδάσκων ἐπιείκειαν καὶ μακροθυμίαν.* 2. *οὕτως γὰρ εἶπεν· Ἐλεᾶτε ἵνα ἐλεηθῆτε, ἀφίετε ἵνα ἀφεθῇ ὑμῖν· ὡς ποιεῖτε, οὕτως ποιηθήσεται ὑμῖν· ὡς δίδοτε, οὕτως δοθήσεται ὑμῖν· ὡς κρίνετε, οὕτως κριθήσεσθε· ὡς χρηστεύεσθε, οὕτως χρηστευθήσεται ὑμῖν· ᾧ μέτρῳ μετρεῖτε, ἐν αὐτῷ μετρηθήσεται ὑμῖν.* 3. *Ταύτῃ τῇ ἐντολῇ καὶ τοῖς παραγγέλμασιν τούτοις στηρίξωμεν ἑαυτοὺς εἰς τὸ πορεύεσθαι ὑπηκόους ὄντας τοῖς ἁγιοπρεπέσι λόγοις αὐτοῦ, ταπεινοφρο-*

XIII) 1) Jer. 9, 23 sq. I Reg. 2, 10. — 2) Mt. 5, 7. 6, 14. 7, 1 sq. 12. Luc. 6, 31. 37 sq.

1 *αυτῃ δουναι*] monstrare ei L (*δεικνυναι αυτῃ*) | *οπως*] quod (relat.) L | **2** *εκκρεμασῃ*] CS u. L (? suspenderet); *κρεμασῃ* A | **3** *κυριου*] *χριστου* S | **4** *και ελπιζουσιν*] om. S | **5** *οτι* om. A | *αλλα και*] *αλλα* A | *γεγονεν*] A; *εγενηθη* C; dub. LS | **8** *τυφος*] A; *τυφον* C | *οργας*] ira L (*οργην*??) | **11** *αλλ' ο*] C; *αλλ η ο* A; dub. LS | **12** *αυτον*] om. L | *κριμα και δικαιοσυνην*] aequitates et justitias ejus L | *μαλιστα*] om. L | **13** *κυριου*] add. nostri L | *Ιησου*] add. Xristi L | **14** *διδασκων*] add. mansuetudinem et L | **15** *ελεατε*] A; *ελεειτε* C | *αφιετε*] A; *αφετε* C | *ως*] add. aliis L | *ουτως*] C; *ουτω* A | *ουτω*] add. et L | **16** *ουτως* 1°] add. et L | *κρινετε*] add. de aliis L | **17** *ως χρηστευεσθε . . . υμιν*] om. L | *ῳ μετρῳ . . υμιν*] steht bei C vor *ως κρινετε* | **18** *εν αυτῳ*] LS; *εν αυτη* A; *ουτως* C; om. Clem. | *ταυτῃ τῃ εντολῃ*] his mandatis L | *τουτοις*] in L nicht übersetzt | **19** *στηριξωμεν*] A; *στηριζωμεν* C | *πορευεσθαι*] *πορευεσθε* C | *πορευεσθαι*] add. in eis L, der übrigens auch übersetzt, als hätte er gelesen: *πορευομενους . . . υπηκοους ειναι* (. . . ambulantes obaudiamus) | **20** *τοις αγιοπρεπεσι λογοις*] verbo sanctitatis L | *ταπεινοφρονουντες*] L, als ob *και ταπεινοφρονειν.*

νοῦντες· φησὶν γὰρ ὁ ἅγιος λόγος· 4. Ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν πραῢν καὶ ἡσύχιον καὶ τρέμοντά μου τὰ λόγια;

XIV. Δίκαιον οὖν καὶ ὅσιον, ἄνδρες ἀδελφοί, ὑπηκόους ἡμᾶς μᾶλλον γενέσθαι τῷ θεῷ ἢ τοῖς ἐν ἀλαζονείᾳ καὶ ἀκαταστασίᾳ μυσεροῦ ζήλους ἀρχηγοῖς ἐξακολουθεῖν. 2. βλάβην γὰρ οὐ τὴν τυχοῦσαν, μᾶλλον δὲ κίνδυνον ὑποίσομεν μέγαν, ἐὰν διψοκινδύνως ἐπιδῶμεν ἑαυτοὺς τοῖς θελήμασιν τῶν ἀνθρώπων οἵτινες ἐξακοντίζουσιν εἰς ἔρεις καὶ στάσεις, εἰς τὸ ἀπαλλοτριῶσαι ἡμᾶς τοῦ καλῶς ἔχοντος. 3. χρηστευσώμεθα ἑαυτοῖς κατὰ τὴν εὐπλαγχνίαν καὶ γλυκύτητα τοῦ ποιήσαντος ἡμᾶς. 4. γέγραπται γάρ· Χρηστοὶ ἔσονται οἰκήτορες γῆς, ἄκακοι δὲ ὑπολειφθήσονται ἐπ' αὐτῆς· οἱ δὲ παρανομοῦντες ἐξολεθρευθήσονται ἀπ' αὐτῆς. 5. καὶ πάλιν λέγει· Εἶδον ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου· καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν, καὶ ἐξεζήτησα τὸν τόπον αὐτοῦ καὶ οὐχ εὗρον. φύλασσε ἀκακίαν καὶ ἴδε εὐθύτητα, ὅτι ἐστὶν ἐγκατάλειμμα ἀνθρώπῳ εἰρηνικῷ.

XV. Τοίνυν κολληθῶμεν τοῖς μετ' εὐσεβείας εἰρηνεύουσιν, καὶ μὴ τοῖς μεθ' ὑποκρίσεως βουλομένοις εἰρήνην. 2. λέγει γάρ που· Οὗτος ὁ λαὸς τοῖς χείλεσίν με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω

4) Jes. 66, 2. — XIV, 4) Prov. 2, 21 sq. Ps. 36, 9. 38. — 5) Ps. 36, 35 sqq. — XV, 2) Jes. 29, 13.

1 *ο αγιος λογος*] Deus L | **2** *πραυν*] A; *πραον* C | *πραυν*] humilem L (*ταπεινον* LXX) | *τα λογια*] A; *τους λογους* CL (LXX); dub. S | **3** *οσιον*] *θειον* S | **4** *ημας*] *υμας* C | *γενεσθαι*] bei L nicht übersetzt | *γενεσθαι τω θεω*] A; *τω θεω γενεσθαι* CS | **5** *ζηλους*] A; *ζηλον* C | *βλαβην, κινδυνον*] periculum, interitum L | **6** *την τυχουσαν*] minimum L | *κινδυνον*] add. animae nostrae L | **7** *επιδωμεν εαυτους*] exequamur L (= exaequamur, *επ*- oder *εξισωμεν εαυτους*) | **8** *ερεις*] LS; *εριν* A; *αιρεσεις* C Nicon | *εις το*] AC; *τον* Nicon | **9** *του καλως εχοντος*] a bonis Dei L | *εαυτοις*] *αυτους* A | *εαυτοις*] add. fratres L | **10** *γλυκυτητα*] *γλυκητητα* C | *του ποιησαντος ημας*] ejus qui fecit nos Deus L | **11** *ακακοι δε*] et innocentes L (LXX A) | **12** *οι δε ... απ αυτης*] om. S per hom. | *εξολεθρευθησονται*] A; *εξολοθρευθησονται* C | **13** *ασεβη*] A (doch *ασεβην*); *τον ασεβη* C Clem. (mit LXX ℵ$^{c.\ a}$ AT) | **15** *εξεζητησα*] AC; *εζητησα*] Clem. (LXX) | *τον τοπον αυτου και ουχ ευρον*] AC; *αυτον και ουχ ευρεθη ο τοπος αυτου* LS Clem. (LXX) | **16** *εγκαταλειμμα*] Clem.; *ενκαταλιμμα* A; *εγκαταλλειμμα* C (L hat übrigens Plural: sunt reliquiae) | **17** *κολληθωμεν*] ACL; *ακολουθησωμεν* Nicon | *μετ' ευσεβειας*] cum que L (Textverderbnis) | **19** *που*] Deus L | *ουτος ο λαος*] A u. wahrsch. LS; *ο λαος ουτος* C | *τοις χειλεσιν*] ALS Clem.; *τω στοματι* C | *τιμᾷ*] diligit L.

ἄπεστιν ἀπ' ἐμοῦ. 3. καὶ πάλιν· Τῷ στόματι αὐτῶν εὐλογοῦσαν, τῇ δὲ καρδίᾳ αὐτῶν κατηρῶντο. 4. καὶ πάλιν λέγει· Ἠγάπησαν αὐτὸν τῷ στόματι αὐτῶν, καὶ τῇ γλώσσῃ αὐτῶν ἐψεύσαντο αὐτόν, ἡ δὲ καρδία αὐτῶν οὐκ εὐθεῖα μετ' αὐτοῦ, οὐδὲ ἐπιστώθησαν ἐν τῇ διαθήκῃ αὐτοῦ. 5. διὰ τοῦτο ἄλαλα γενηθήτω τὰ χείλη τὰ δόλια· τὰ λαλοῦντα κατὰ τοῦ δικαίου ἀνομίαν. καὶ πάλιν· Ἐξολεθρεῦσαι κύριος πάντα τὰ χείλη τὰ δόλια, γλῶσσαν μεγαλορήμονα, τοὺς εἰπόντας· Τὴν γλῶσσαν ἡμῶν μεγαλυνοῦμεν, τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐστίν· τίς ἡμῶν κύριός ἐστιν; 6. ἀπὸ τῆς ταλαιπωρίας τῶν πτωχῶν καὶ τοῦ στεναγμοῦ τῶν πενήτων νῦν ἀναστήσομαι, λέγει κύριος· θήσομαι ἐν σωτηρίῳ. 7. παρρησιάσομαι ἐν αὐτῷ.

XVI. Ταπεινοφρονούντων γάρ ἐστιν ὁ Χριστός, οὐκ ἐπαιρομένων ἐπὶ τὸ ποίμνιον αὐτοῦ. 2. τὸ σκῆπτρον τῆς μεγαλωσύνης τοῦ θεοῦ, ὁ κύριος Ἰησοῦς Χριστός, οὐκ ἦλθεν ἐν κόμπῳ ἀλαζονείας οὐδὲ ὑπερηφανίας, καίπερ δυνάμενος, ἀλλὰ ταπεινοφρονῶν, καθὼς τὸ πνεῦμα τὸ ἅγιον περὶ αὐτοῦ ἐλάλησεν· φησὶν γάρ· 3. Κύριε, τίς ἐπίστευσεν τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων κυρίου τίνι ἀπεκαλύφθη; ἀνηγγείλαμεν ἐναντίον αὐτοῦ, ὡς

3) Ps. 61, 5. — 4) Ps. 77, 36 sq. — 5 sqq.) Ps. 30, 19. 11, 3 sqq. — XVI, 3 sqq.) Jes. 53, 1—12.

1 *απεστιν*] A Clem. L (?); *απεχει* C Nicon; dub. S | *παλιν*] add. dixit L | *ευλογουσαν*] A; *ειλογουν* C; *ευλογουσι* Clem. | *τη δε*] AC Clem.; *και τη* L(?) S (LXX) | **2** *κατηρωντο*] C; *κατηρωτο* od. *κατηρονττο* A; *καταρωνται* Clem. | **3** *τῳ*] *εν τῳ* Clem. | *εψευσαντο*] ALS Clem.; *εψεξαν* C | **4** *ουκ*] add. fuit L | *μετ αυτου*] cum Deo L | **5** *δια τουτο*] CLS Clem.; om. A | *γενηθητω*] A Clem.; *γενηθειη* C | *τα χειλη*] *παντα τα χειλη* Clem. | *τα λαλουντα . . . . τα δολια*] S; om. ACL Clem. per hom. (cf. Prol. S. 38f.) | **7** *γλωσσαν μεγαλορημονα τους ειποντας*] AS; *και γλωσσαν μεγαλορημονα τους ειποντας* Clem.; *γλωσσα μεγαλορημων· και παλιν· τους ειποντας* C; et lingua magniloquia qui dixerunt L (*και γλωσσα μεγαλορημων, οι ειποντες*?) | **8** *μεγαλυνουμεν*] C Clem.; *μεγαλυνωμεν* A; dub. S | *την γλωσσαν ημων μεγαλυνουμεν*] lingua nostra magnificabimur L | *παρ ημιν*] A Clem.; *παρ ημων* CS; a nobis L (was nicht *παρ ημων* wiedergeben muss, vgl. Morins Anmerkung zu c. 11 de quibus desideratis) | *ημων* 2°] nobis L | **9** *της*] om. Clem. | *και τον*] CLS Clem.; *και απο του* A (LXX) | **10** *αναστησομαι*] *αναστησομεν* A | *εν σωτηριῳ*] L Clem.; *εν σωτηριᾳ* A; dub. S; om. C | **13** *της μεγαλωσυνης*] ACL; om. S Hieron. | **14** *ο κυριος*] CL Hieron; add. *ημων* A; dub. S | *Ιησους Χριστος*] CLS Hieron.; *Χριστος Ιησους* A | **15** *υπερηφανιας*] cum superbia L (*εν υπερηφανιᾳ*) | *υπερηφανιας*] A; *υπερηφανειας* C | **16** *ταπεινοφρονων*] ACL Hieron.; add. *ηλθεν* S | **18** *ως παιδιον*] om. L

παιδίον, ὡς ῥίζα ἐν γῇ διψώσῃ· οὐκ ἔστιν αὐτῷ εἶδος οὐδὲ δόξα, καὶ εἴδομεν αυτόν, καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, ἐκλεῖπον παρὰ τὸ εἶδος τῶν ἀνθρώπων· ἄνθρωπος ἐν πληγῇ ὢν καὶ πόνῳ καὶ εἰδὼς φέρειν μαλακίαν, ὅτι ἀπέστραπται τὸ πρόσωπον αὐτοῦ, ἠτιμάσθη καὶ οὐκ ἐλογίσθη. 4. οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει καὶ περὶ ἡμῶν ὀδυνᾶται, καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ καὶ ἐν πληγῇ καὶ ἐν κακώσει. 5. αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν. παιδεία εἰρήνης ἡμῶν ἐπ' αὐτόν· τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν. 6. πάντες ὡς πρόβατα ἐπλανήθημεν, ἄνθρωπος τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη· 7. καὶ κύριος παρέδωκεν αὐτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, καὶ αὐτὸς διὰ τὸ κεκακῶσθαι οὐκ ἀνοίγει τὸ στόμα. ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. ἐν τῇ ταπεινώσει ἡ κρίσις αὐτοῦ ἤρθη. 8. τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ· 9. ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου ἦκει εἰς θάνατον. 10. καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ· ὅτι ἀνομίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. καὶ κύριος βούλεται καθαρίσαι αὐτὸν τῆς πληγῆς. 11. ἐὰν δῶτε περὶ ἁμαρτίας, ἡ ψυχὴ ὑμῶν ὄψεται σπέρμα μακρόβιον. 12. καὶ κύριος βούλεται ἀφελεῖν ἀπὸ τοῦ πόνου τῆς ψυχῆς αὐτοῦ, δεῖξαι αὐτῷ φῶς καὶ πλάσαι τῇ συνέσει, δικαιῶσαι δίκαιον εὖ δουλεύοντα πολλοῖς· καὶ τὰς ἁμαρτίας αὐτῶν αὐτὸς ἀνοίσει. 13. διὰ τοῦτο αὐτὸς κληρονομήσει πολλοὺς καὶ τῶν ἰσχυρῶν μεριεῖ σκῦλα· ἀνθ' ὧν παρεδόθη εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ, καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη· 14. καὶ αὐτὸς ἁμαρτίας πολλῶν ἀνήνεγκεν καὶ διὰ τὰς ἁμαρτίας αὐτῶν παρεδόθη. 15. καὶ πάλιν αὐτός φησιν· Ἐγὼ δέ εἰμι σκώληξ καὶ οὐκ ἄνθρω-

15) Ps. 21 7—9.

1 *παιδιον*] AS; *πεδιον* C | *αυτω ειδος*] CLS(?); *ειδος αυτω* A (LXX) **2** *καλλος*] gloriam S (*δοξαν*, wie in der vorhergehenden Zeile) | **3** *ατιμον, εκλειπον*] deficiens et deformis (*εκλ. και ατιμ.*) L | *το ειδος των ανθρωπων*] *παντας ανθρωπους* S | **4** *και* 2⁰] om. L | **7** *εν* 1⁰ u. 2⁰] om. L | **8** *αμαρτιας, ανομιας*] AL; *ανομιας, αμαρτιας* CS | **10** *τη οδω*] a via L | **11** *υπερ των αμαρτιων*] *ταις αμαρτιαις* S | **12** u. **13** *ανοιγει*] aperuit L | **14** *αυτου*] om. L | *εν τη ταπειωσει*] AC; add. *αυτου* L (sua) S (ejus); S zieht *εν τη ταπειν. αυτου* zum vorhergehenden Satze | *την γενεαν*] *και την γενεαν* S **16** *ηκει*] *ηχθη* S (LXX) | **20** *δωτε*] dederitis vos L | **21** *της ψυχης*] AC; *απο της ψυχης* S; animam L | *αυτου*] add. et L | **23** *ανοισει*] portat L | **25** *εν τοις*] CS (=); *τοις* A; cum L (Lc. 22 37, Mc. 15 28 *μετα ανομων*) | **26** *παρεδοθη*] add. morti L | **27** *αυτος*] om. L | *εγω δε*] AS; om. *δε* CL.

πος, ὄνειδος ἀνθρώπων καὶ ἐξουθένημα λαοῦ. 16. πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με, ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν· Ἤλπισεν ἐπὶ κύριον, ῥυσάσθω αὐτόν, σωσάτω αὐτόν, ὅτι θέλει αὐτόν. 17. Ὁρᾶτε, ἄνδρες ἀγαπητοί, τίς ὁ ὑπογραμμὸς ὁ δεδομένος ἡμῖν. εἰ γὰρ ὁ κύριος οὕτως ἐταπεινοφρόνησεν, τί ποιήσωμεν ἡμεῖς οἱ ὑπὸ τὸν ζυγὸν τῆς χάριτος αὐτοῦ δι' αὐτοῦ ἐλθόντες;

XVII. Μιμηταὶ γενώμεθα κἀκείνων οἵτινες ἐν δέρμασιν αἰγείοις καὶ μηλωταῖς περιεπάτησαν κηρύσσοντες τὴν ἔλευσιν τοῦ Χριστοῦ· λέγομεν δὲ Ἠλίαν καὶ Ἐλισαιέ, ἔτι δὲ καὶ Ἰεζεκιήλ, τοὺς προφήτας, πρὸς τούτοις καὶ τοὺς μεμαρτυρημένους. 2. ἐμαρτυρήθη μεγάλως Ἀβραὰμ καὶ φίλος προσηγορεύθη τοῦ θεοῦ, καὶ λέγει ἀτενίζων εἰς τὴν δόξαν τοῦ θεοῦ ταπεινοφρονῶν· Ἐγὼ δέ εἰμι γῆ καὶ σποδός. 3. ἔτι δὲ καὶ περὶ Ἰὼβ οὕτως γέγραπται· Ἰὼβ δὲ ἦν δίκαιος καὶ ἄμεμπτος, ἀληθινός, θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς κακοῦ. 4. ἀλλ' αὐτὸς ἑαυτοῦ κατηγορεῖ λέγων· Οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου, οὐδ' ἂν μιᾶς ἡμέρας ἡ ζωὴ αὐτοῦ. 5. Μωϋσῆς πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ ἐκλήθη, καὶ διὰ τῆς ὑπηρεσίας αὐτοῦ ἔκρινεν ὁ θεὸς Αἴγυπτον διὰ τῶν μαστίγων καὶ τῶν αἰκισμάτων αὐτῶν. ἀλλὰ κἀκεῖνος

XVII, 2) Jes. 41 8. Gen. 18 27. — 3) Job. 1 1. — 4) Job. 14 4 sq. — 5) Num. 12 7. Ex. 3, 11. 4, 10.

2 εκινησαν] praem. et L | κεφαλην] add. et dixerunt L | **3** οτι] ει S **4** ανδρες αγαπητοι] fratres L | **5** κυριος] add. noster L | ποιησωμεν] AL; ποιησομεν C; dub. S | **6** ελθοντες] LS; ελθοντος A (wegen αυτου); απελθοντες C | **7** κακεινων] om. και L | **8** ελευσιν] βασιλειαν Clem. (wie 50 3) **9** Ελισαιε] AL; Ελισσαιε C; Ελισσαιον Clem. | ετι δε] AS; om. CL (letzterer übersetzt indessen auch Z. 13 ετι δε και mit einfachem et) | και 2° om. S | **10** προς τουτοις] om. L; add. δε S | **11** εμαρτυρηθη] add. δε C | και φιλος] et ideo amicus L | **12** και λεγει] qui dixit L (doch wohl nur Übersetzungsvariante) | ατενιζων] A; ατενισας C; intuendo L (höchst wahrsch. ατενιζων); ατενισω S | ταπεινοφρονων C; ταπεινοφρωνων A | **13** εγω δε] ego L | ετι δε και] et L | **14** ουτως γεγραπται] scriptum est sic L (γεγρ. ουτως?) | δε] CS Clem; om. A; et erat Job L (LXX) | και] AC Clem; om. LS (LXX) | αληθινος] verax homo L | αληθινος] add. και Clem. θεοσεβης] timens et colens Deum L (was aber sicher nur paraphr. Übersetzung ist) | **15** απεχομενος] praem. et L | κακου] AC Clem.; πονηρου πραγματος LS (LXX) | κατηγορει λεγων] CL; κατηγ . . . . . A; κατηγορων λεγει S(?) | **16** ουδ αν] C; def. A; ουδ ει Clem. | ημερας] AC Clem. (LXX); add. ἧ L (fuerit). ebenso Lightf. | **17** αυτου 2°] AS; Dei L; om. C | **18** εκρινεν] κρινει S (?) | **19** αυτων] saevis L (δεινων [? cf. c. 6 2] oder verderbt aus suis?).

δοξασθεὶς μεγάλως οὐκ ἐμεγαλορημόνησεν, ἀλλ᾽ εἶπεν ἐκ τῆς βάτου χρηματισμοῦ αὐτῷ διδομένου· Τίς εἰμι ἐγώ, ὅτι με πέμπεις; ἐγὼ δέ εἰμι ἰσχνόφωνος καὶ βραδύγλωσσος. 6. καὶ πάλιν λέγει· Ἐγὼ δέ εἰμι ἀτμὶς ἀπὸ κύθρας.

XVIII. Τί δὲ εἴπωμεν ἐπὶ τῷ μεμαρτυρημένῳ Δαυείδ; ἐφ᾽ οὗ εἶπεν ὁ θεός· Εὗρον ἄνδρα κατὰ τὴν καρδίαν μου, Δαυεὶδ τὸν τοῦ Ἰεσσαί· ἐν ἐλέει αἰωνίῳ ἔχρισα αὐτόν. 2. ἀλλὰ καὶ αὐτὸς λέγει πρὸς τὸν θεόν· Ἐλέησόν με, ὁ θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. 3. ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με· ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶν διαπαντός. 4. σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα· ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. 5. ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήμφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέν με ἡ μήτηρ μου. 6. ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας ἐδήλωσάς μοι. 7. ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. 8. ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστᾶ τεταπεινωμένα. 9. ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. 10. καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. 11. μὴ ἀπορίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ πνεῦμα τὸ ἅγιόν σου μὴ ἀντανέλῃς

6) unde? — XVIII, 1) Ps. 88 21. — 2) Ps. 50 3—19.

1 δοξασθεις] add. a Deo L | εκ της βατου] Clem. L (cum de rubo loquebatur cum eo, auch Clem. hat den Satz activ gewendet: προς τον χρηματιζοντα εκ της βατου); επι της (oder τοῦ) βατου S; επι του της βατου C; vac A ε .... βατου (επι scheint Harmonismus zu sein cf. Lc. 20 37 Mc. 12 26) | **2** πεμπεις] add. ut educam plebem tuam L | εγω δε] quia ego L | **3** δε 2°] ACS Clem; om. L | **4** κυθρας] AC; χυτρας Clem. | **5** δε] Et ... vero L | ειπωμεν] A; ειπομεν C; dicemus (ερουμεν?) L | Δαυειδ] δαδ AC (ebenso Z. 6) | εφ ου] Clem. L (propter quem, mit propter ist in derselben Zeile, ferner 2 6 7 7 23 3 ein επι, freilich c. dat., wiedergegeben); προς ον ACS | **6** ο θεος] om. C | την καρδιαν] voluntatem cordis L | **7** ελεει] A (doch ελαιει) CL; ελαιῳ Clem. S | αυτος] hic L (ουτος?) | **8** ο θεος] om. L | **10** επι πλειον ... εξουθενησει (S. 110 Z. 8)] om. C | **12** ημαρτον] AS; add. Deus meus L | **14** νικησῃς] νικησεις A | **17** της σοφιας] AS; salutis L (σωτηριας?) | σοφιας] add. σου A (LXX) | **18** πλυνεις] πλυνιεις A | **22** εγκατοις] ενκατοις A.

ἀπ' ἐμοῦ. 12. ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήρισόν με. 13. διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπιστρέψουσιν ἐπὶ σέ. 14. ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· 15. ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. κύριε, τὸ στόμα μου ἀνοίξεις, καὶ τὰ χείλη μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. 16. ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. 17. θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουθενώσει.

XIX. *Τῶν τοσούτων οὖν καὶ τοιούτων μεμαρτυρημένων τὸ ταπεινόφρον καὶ τὸ ὑποδεὲς διὰ τῆς ὑπακοῆς οὐ μόνον ἡμᾶς ἀλλὰ καὶ τὰς πρὸ ἡμῶν γενεὰς βελτίους ἐποίησεν, τούς τε καταδεξαμένους τὰ λόγια αὐτοῦ ἐν φόβῳ καὶ ἀληθείᾳ.* 2. *Πολλῶν οὖν καὶ μεγάλων καὶ ἐνδόξων μετειληφότες πράξεων ἐπαναδράμωμεν ἐπὶ τὸν ἐξ ἀρχῆς παραδεδομένον ἡμῖν τῆς εἰρήνης σκοπόν, καὶ ἀτενίσωμεν εἰς τὸν πατέρα καὶ κτίστην τοῦ σύμπαντος κόσμου, καὶ ταῖς μεγαλοπρεπέσι καὶ ὑπερβαλλούσαις αὐτοῦ δωρεαῖς τῆς εἰρήνης εὐεργεσίαις τε κολληθῶμεν.* 3. *ἴδωμεν αὐτὸν κατὰ διάνοιαν, καὶ ἐμβλέψωμεν τοῖς ὄμμασιν τῆς ψυχῆς εἰς τὸ μακρόθυμον αὐτοῦ βούλημα· νοήσωμεν πῶς ἀόργητος ὑπάρχει πρὸς πᾶσαν τὴν κτίσιν αὐτοῦ.*

XX. *Οἱ οὐρανοὶ τῇ διοικήσει αὐτοῦ σαλευόμενοι ἐν εἰρήνῃ ὑποτάσσονται αὐτῷ·* 2. *ἡμέρα τε καὶ νὺξ τὸν τεταγμένον ὑπ' αὐτοῦ δρόμον διανύουσιν, μηδὲν ἀλλήλοις ἐμποδίζοντα.* 3. *ἥλιός*

3 *επιστρεψουσιν επι σε*] AS; *επι σε επιστρεψουσιν* L (LXX) | 4 *αγαλλιασεται*] AS; exaltabit L (doch wird exultabit zu lesen sein) | 5 *το στομα, τα χειλη*] A; *τα χειλη, το στομα* LS (LXX) | 9 ff. *Των τοσουτων .... εποιησεν*] L hat anscheinend einen verstümmelten Text vor sich gehabt, den er sich zurechtlegte; er übersetzt, als ob er gelesen hätte: *των τοσουτων ..... μεμαρτυρημενων και ταπεινοφρονουντων δια της υπακοης..... εποιησαν* (om. *και το υποδεες*; der gen. poss. als gen. absol. gefasst) | *τοσουτων, τοιουτων*] AL; *τοιουτων, τοσουτων* CS | *μεμαρτυρημενων*] CL; *ουτως μεμ.* A; *και ουτως μεμ.* S (das *ουτως* hinter *τοιουτων* leicht erklärlich) | 10 *ταπεινοφρον*] C; *ταπεινοφρονον* A (*ταπεινοφρονουν* Lightf.) | *υπακοης*] add. Dei L | 11 *αλλα*] *αλλας* A | *τας προ ημων γενεας*] AS; *τους προ ημων εν τη γενεα* L; *τους προ ημων* C | 12 *τε*] om. S | *αυτου*] *του θεου* S | 13 *πραξεων*] add. *τουτων, αδελφοι αγαπητοι* S | 16 *κοσμου*] hujus mundi S | 17 *ενεργεσιαις τε*] om. L | *κολληθωμεν*] consideremus et adhaereamus S | 18 *κατα διανοιαν*] sensu nostro L | 19 *της ψυχης*] add. nostrae L | 21 *οι*] A; om. C | *διοικησει*] *δικαιωσει* S | 22 *τεταγμενον*] add. sibi L.

τε καὶ σελήνη ἀστέρων τε χοροὶ κατὰ τὴν διαταγὴν αὐτοῦ ἐν ὁμονοίᾳ δίχα πάσης παρεκβάσεως ἐξελίσσουσιν τοὺς ἐπιτεταγμένους αὐτοῖς ὁρισμούς. 4. γῆ κυοφοροῦσα κατὰ τὸ θέλημα αὐτοῦ τοῖς ἰδίοις καιροῖς τὴν παμπληθῆ ἀνθρώποις τε καὶ θηρσὶν καὶ πᾶσιν τοῖς οὖσιν ἐπ' αὐτῆς ζώοις ἀνατέλλει τροφήν, μὴ διχοστατοῦσα μηδὲ ἀλλοιοῦσά τι τῶν δεδογματισμένων ὑπ' αὐτοῦ. 5. ἀβύσσων τε ἀνεξιχνίαστα καὶ νερτέρων ἀνεκδιήγητα κρίματα τοῖς αὐτοῖς συνέχεται προστάγμασιν. 6. τὸ κύτος τῆς ἀπείρου θαλάσσης κατὰ τὴν δημιουργίαν αὐτοῦ συσταθὲν εἰς τὰς συναγωγὰς οὐ παρεκβαίνει τὰ περιτεθειμένα αὐτῇ κλεῖθρα, ἀλλὰ καθὼς διέταξεν αὐτῇ, οὕτως ποιεῖ. 7. εἶπεν γάρ· Ἕως ὧδε ἥξεις, καὶ τὰ κύματά σου ἐν σοὶ συντριβήσεται. 8. ὠκεανὸς ἀπέραντος ἀνθρώποις καὶ οἱ μετ' αὐτὸν κόσμοι ταῖς αὐταῖς ταγαῖς τοῦ δεσπότου διευθύνονται. 9. καιροὶ ἐαρινοὶ καὶ θερινοὶ καὶ μετοπωρινοὶ καὶ χειμερινοὶ ἐν εἰρήνῃ μεταπαραδιδόασιν ἀλλήλοις. 10. ἀνέμων σταθμοὶ κατὰ τὸν ἴδιον καιρὸν τὴν λειτουργίαν αὐτῶν ἀπροσκόπως ἐπιτελοῦσιν. ἀέναοί τε πηγαί, πρὸς ἀπόλαυσιν καὶ ὑγείαν δημιουργηθεῖσαι, δίχα ἐλλείψεως παρέχονται τοὺς πρὸς ζωῆς ἀνθρώποις μαζούς. τά τε ἐλά-

XX, 7) Job. 38 11.

1 *τε καὶ*] AS; *καὶ* C; dub. L | *ἀστερων τε χοροι*] AC; et stelarum chorus L; *ἀστερες τε και χοροι* S | **2** *διχα*] *δια* S(?) | *παρεκβασεως*] AL (praevaricatione; 41 1 *παρεκβαινων* ebenfalls durch praevaricans); egressu cursus S (= *παρεκβασεως*?); *παραβασεως* C (cf. Arist. Apol. 4: . . . *τα ἀστρα . . . ου παραβαινουσι τους ιδιους ορους*) | **4** *παπληθη*] A; *παμπληθη* C | **5** *επ αυτης*] CL (in ea; *επ αυτην* wäre super eam); in illa S; *επ αυτην* A | **7** *υπ αυτου*] Dei L | *ανεξιχνιαστα*] inexscrutibilia qui situ L (sicher ein Verderbnis) | **8** *προσταγμασιν*] add. Dei L | *το κυτος της απειρου θαλασσης*] et infinitum mare L | **9** *αυτου*] Dei L | **10** *συναγωγας*] add. suas L | *περιτεθειμενα*] *παρατεθειμενα* C | *αυτῃ*] add. Deus L | **11** *ειπεν γαρ*] quia dixit mari L | **12** *κυματα*] *κρυματα* A | *συντριβησεται*] A; *συντριβησονται* C | **13** *απεραντος*] AC Clem., Dion. Al., Didym., L (infinitus); *απερατος* Orig. S | *απερ. ανθρωποις*] CL Clem. Orig.; *ανθρ. απερ.* A | *οι μετ αυτον κοσμοι*] omnis orbis terrarum L | **14** *ταγαις*] AC; *διαταγαις* Orig. | *δεσποτου*] Domini Dei L | **15** *μετοπωρινοι*] *μεθοπωρινοι* A | *μεταπαραδιδοασιν*] A u. wahrscheinlich LS; *μεταδιδοασιν* C | **16** *ανεμων*] AL; add. *τε* CS (der übersetzt, als hätte er *ανεμοι τε σταθμων* gelesen) | *την*] *και την* C | **17** *αεναοι*] A; *αενναοι* C | **18** *απολαυσιν*] AC; add. *τε* S; dub. L | *υγειαν*] A; *υγειαν* C | **19** *τους προς ζωης μαζους*] AC (doch hat dieser *ζωην*); vitae alimenta L; ea quae ad vitam S.

χιστα τῶν ζώων τὰς συνελεύσεις αὐτῶν ἐν ὁμονοίᾳ καὶ εἰρήνῃ ποιοῦνται. 11. Ταῦτα πάντα ὁ μέγας δημιουργὸς καὶ δεσπότης τῶν ἁπάντων ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ προσέταξεν εἶναι, εὐεργετῶν τὰ πάντα,ῆ ὑπερεκπερισσῶς δὲ ἡμᾶς τοὺς προσπεφευγότας τοῖς οἰκτιρμοῖς αὐτοῦ διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· 12. † δι' οὗ αὐτῷ † ἡ δόξα καὶ ἡ μεγαλωσύνη εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

XXI. Ὁρᾶτε, ἀγαπητοί, μὴ αἱ εὐεργεσίαι αὐτοῦ αἱ πολλαὶ γένωνται εἰς κρίμα ἡμῖν, ἐὰν μὴ ἀξίως αὐτοῦ πολιτευόμενοι τὰ καλὰ καὶ εὐάρεστα ἐνώπιον αὐτοῦ ποιῶμεν μεθ' ὁμονοίας. 2. λέγει γάρ που· Πνεῦμα κυρίου λύχνος ἐρευνῶν τὰ ταμιεῖα τῆς γαστρός. 3. † εἰδῶμεν † πῶς ἐγγύς ἐστιν, καὶ ὅτι οὐδὲν λέληθεν αὐτὸν τῶν ἐννοιῶν ἡμῶν οὐδὲ τῶν διαλογισμῶν ὧν ποιούμεθα. 4. δίκαιον οὖν ἐστὶν μὴ λειποτακτεῖν ἡμᾶς ἀπὸ τοῦ θελήματος αὐτοῦ. 5. μᾶλλον ἀνθρώποις ἄφροσι καὶ ἀνοήτοις καὶ ἐπαιρομένοις καὶ ἐγκαυχωμένοις ἐν ἀλαζονείᾳ τοῦ λόγου αὐτῶν προσκόψωμεν ἢ τῷ θεῷ. 6. τὸν κύριον Ἰησοῦν Χριστόν, οὗ τὸ αἷμα ὑπὲρ ἡμῶν ἐδόθη, ἐντραπῶμεν· τοὺς προηγουμένους ἡμῶν αἰδεσθῶμεν, τοὺς πρεσβυτέρους τιμήσωμεν, τοὺς νέους παιδεύσωμεν τὴν παιδείαν τοῦ φόβου τοῦ θεοῦ, τὰς γυναῖκας

XXI, 2) Prov. 20, 27.

1 *συνελευσεις*] auxilia S (*συλλήψεις*) | **2** *και δεσποτης των απαντων*] Deus meus L | **4** *προσπεφευγοτας*] AS; *προσφευγοντας* C; dub. L (qui confugimus) | **5** *ημων*] om. L | **6** *δι ου αυτῳ*] per quem Deo et Patri L; *φ* ALS (vgl. Prol. S. 54) | *και η μεγαλωσυνη*] ACL (doch dieser om. *και*); om. S | S *αγαπητοι*] fratres L | **9** *κριμα ημιν*] LS; *κριμα πασιν ημιν* A, *κριματα συν ημιν* C (vgl. Prol. S. 67) | *αυτου*] om. S | *πολιτευομενοι, ποιωμεν*] conversemur, facientes L | **10** *εναρεστα*] add. illi L | *μεθ ομονοιας*] om. L | **11** *που*] om. L | *λυχνος*] C Clem.; *λυχνον* A | *ταμιεια*] AC; *ταμεια* Clem. | *της γαστρος*] cordis L | **12** *ειδωμεν*] L (sciamus); *ιδωμεν* ACS | *ειδωμεν*] add. itaque L | *πως εγγυς εστιν*] AC; (*ουτως εγγιζει τοις δικαιοις .. ο κυριος* Clem.); add. nobis S; quia ubique prope illum sumus L | *οτι*] AC; om. LS | **13** *ημων*] om. L | **15** *μαλλον*] add. *δε* S | **16** *εγκαυχωμενοις*] *εγκαυχωμενοι* A | *εν αλαζονειᾳ του λογου*] superbe in verbis L | **17** *τῳ θεῳ. τον κυριον*] Deum aut Dominum L | *Χριστον*] AL; om. CS Clem. | **18** *εδοθη*] *ηγιασθη* Clem. | *εδοθη, εντραπωμεν· τους προηγουμενους ημων αιδεσθωμεν ...*] datus est. Uereamur eos qui prae (eig. pro) nobis sunt: uerecundemur ... L; Clem. hat dieselbe falsche Abteilung und liest *και αιδεσθωμεν κτλ.* | **19** *πρεσβυτερους*] add. *ημων* A | *τιμησωμεν*] honorem illis tribuentes L | **20** *του φοβου*] om. S Clem. | *τας γυναικας*] et uxores L.

ἡμῶν ἐπὶ τὸ ἀγαθὸν διορθωσώμεθα· 7. τὸ ἀξιαγάπητον τῆς ἀγνείας ἦθος ἐνδειξάσθωσαν, τὸ ἀκέραιον τῆς πραΰτητος αὐτῶν βούλημα ἀποδειξάτωσαν, τὸ ἐπιεικὲς τῆς γλώσσης αὐτῶν διὰ τῆς σιγῆς φανερὸν ποιησάτωσαν· τὴν ἀγάπην αὐτῶν μὴ κατὰ προσκλίσεις, ἀλλὰ πᾶσιν τοῖς φοβουμένοις τὸν θεὸν ὁσίως ἴσην παρεχέτωσαν. 8. τὰ τέκνα ἡμῶν τῆς ἐν Χριστῷ παιδείας μεταλαμβανέτωσαν· μαθέτωσαν τί ταπεινοφροσύνη παρὰ θεῷ ἰσχύει, τί ἀγάπη ἁγνὴ παρὰ θεῷ δύνατai, πῶς ὁ φόβος αὐτοῦ καλὸς καὶ μέγας καὶ σώζων πάντας τοὺς ἐν αὐτῷ ὁσίως ἀναστρεφομένους ἐν καθαρᾷ διανοίᾳ. 9. ἐρευνητὴς γὰρ ἐννοιῶν καὶ ἐνθυμήσεων· οὗ ἡ πνοὴ αὐτοῦ ἐν ἡμῖν ἐστίν, καὶ ὅταν θέλῃ ἀνελεῖ αὐτήν.

XXII. Ταῦτα δὲ πάντα βεβαιοῖ ἡ ἐν Χριστῷ πίστις· καὶ γὰρ αὐτὸς διὰ τοῦ πνεύματος τοῦ ἁγίου οὕτως προσκαλεῖται ἡμᾶς· Δεῦτε, τέκνα, ἀκούσατέ μου, φόβον κυρίου διδάξω ὑμᾶς. 2. τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωήν, ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς; 3. παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον· 4. ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν, 5. ζήτησον εἰρήνην καὶ δίωξον αὐτήν. 6. ὀφθαλμοὶ κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ πρὸς δέησιν αὐτῶν· πρόσωπον δὲ κυρίου ἐπὶ ποιοῦντας κακά, τοῦ ἐξολε-

XXII, 1 sqq.) Ps. 33 12—18.

1 *επι το αγαθον*] ad bona L | *το αξιαγαπητον*] praem. ut L | *της αγνειας ηθος*] AC; *ηθος της αγνειας* Clem. mores castitatis L (nach Morins Conj.) | **2** *το ακεραιον*] et sinceram L | **3** *βουλημα*] praem. *και* S | *το επιεικες*] et quietam L | **4** *σιγης*] *φωνης* A | **5** *προσκλισεις*] ALS Clem.; *προσκλησεις* C | *ισην*] et aequalem et similem L | **6** *ημων*] LS Clem.; *υμων* AC | **7** *μεταλαμβανετωσαν*] AC; *μεταλαβετωσαν* Clem. | *μαθετωσαν*] praem. ut L | *θεῳ*] C Clem; *τῳ θεῳ* A | **8** *τι αγαπη . . . . . δυναται* om. L | *πως*] praem. et L | *αυτου*] *του κυριου* Clem. | **9** *και σωζων*] ACL; et liberans et salvans S; *σωζων* Clem. | *οσιως*] *θειως* S | **10** *εν καθαρᾳ διανοιᾳ*] ACS; *εν καθαρᾳ καρδιᾳ* Clem.; *εν καθαρᾳ καρδιᾳ και απλῃ διανοιᾳ* L (? corde puro et cogitatione sincera) | **10** *ερευνητης*] praem. timor . . . Dei L | *γαρ*] Clem. L; add. *εστιν* AC; dub. S | **11** *ενθυμησεων*] AC; *ενθυμηματων* Clem. | *ου . . . αυτου*] Dei cujus L | **12** *ανελει*] AL Clem.; *αναρει* CS | *αυτην*] add. a nobis L | **13** *δε*] om. S | *Χριστῳ*] Jhesum Xristum L | **14** *προσκαλειται*] vocat et hortatur L | **15** *τις εστιν . . .* bis *ερυσατο αυτον* (Z. 2 der nächsten Seite)] om. C | **16** *ημερας ιδειν αγαθας*] videre dies bonos L (LXX) | *αγαπων*] praem. et L | **17** *και*] AL Clem.; om. S | *χειλη σου*] LS Clem.; om. *σου* A (v. l. LXX) | **19** *οφθαλμοι*] AL Clem.; *οτι οφθαλμοι* S (v. l. LXX) | *προς*] A; *εις* Clem. (LXX) | **20** *δε*] om. L.

θρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν. 7. ἐκέκραξεν ὁ δίκαιος, καὶ ὁ κύριος εἰσήκουσεν αὐτοῦ καὶ ἐκ πασῶν τῶν θλίψεων ἐρύσατο αὐτόν. 8. πολλαὶ αἱ μάστιγες τοῦ ἁμαρτωλοῦ, τοὺς δὲ ἐλπίζοντας ἐπὶ κύριον ἔλεος κυκλώσει.

XXIII. Ὁ οἰκτίρμων κατὰ πάντα καὶ εὐεργετικὸς πατὴρ ἔχει σπλάγχνα ἐπὶ τοὺς φοβουμένους αὐτόν, ἡπίως τε καὶ προσηνῶς τὰς χάριτας αὐτοῦ ἀποδιδοῖ τοῖς προσερχομένοις αὐτῷ ἁπλῇ διανοίᾳ. 2. διὸ μὴ διψυχῶμεν, μηδὲ ἐνδαλλέσθω ἡ ψυχὴ ἡμῶν ἐπὶ ταῖς ὑπερβαλλούσαις καὶ ἐνδόξοις δωρεαῖς αὐτοῦ. 3. πόρρω γενέσθω ἀφ' ἡμῶν ἡ γραφὴ αὕτη, ὅπου λέγει· Ταλαίπωροί εἰσιν οἱ δίψυχοι, οἱ διστάζοντες τῇ ψυχῇ, οἱ λέγοντες· Ταῦτα ἠκούσαμεν καὶ ἐπὶ τῶν πατέρων ἡμῶν, καὶ ἰδοὺ γεγηράκαμεν καὶ οὐδὲν ἡμῖν τούτων συνβέβηκεν. 4. Ὦ ἀνόητοι, συμβάλετε ἑαυτοὺς ξύλῳ· λάβετε ἄμπελον· πρῶτον μὲν φυλλοροεῖ, εἶτα βλαστὸς γίνεται, εἶτα φύλλον, εἶτα ἄνθος, καὶ μετὰ ταῦτα ὄμφαξ, εἶτα σταφυλὴ παφεστηκυῖα. ὁρᾶτε ὅτι ἐν καιρῷ ὀλίγῳ εἰς πέπειρον καταντᾷ ὁ καρπὸς τοῦ ξύλου. 5 ἐπ' ἀληθείας ταχὺ καὶ ἐξαίφνης τελειωθήσεται τὸ βούλημα αὐτοῦ. συνεπιμαρτυρούσης καὶ τῆς γραφῆς ὅτι ταχὺ ἥξει καὶ οὐ χρονιεῖ, καὶ ἐξαίφνης ἥξει ὁ κύριος εἰς τὸν ναὸν αὐτοῦ, καὶ ὁ ἅγιος ὃν ὑμεῖς προσδοκᾶτε.

XXII, 8) Ps. 31 10. — XXIII, 3) unde? — 5) Jes. 13 22. Mal. 3 1.

1 *εκεκραξεν κτλ.*] Die Clem.-Handschriften haben: *εκεκραξεν δε ο κυριος και εισηκουσε*, ein offenb. Verderbnis | **2** *θλιψεων*] L Clem.; add. *αυτου* AS | *αυτον*] add. S: *πολλαι αι θλιψεις του δικαιου και εκ πασων ρυσεται αυτον ο κυριος* (cf. *ψ* 33 20 LXX) | **3** *πολλαι*] AL; praem. *εισα* C, et iterum S (*και παλιν*) | *πολλαι*] add. *μεν γαρ*, om. *αι* Clem. | *του αμαρτωλου*] AC; *των αμαρτωλων* Clem. L (LXX) | *τους δε ελπιζοντας*] AL Clem.; *τον δε ελπιζοντα* CS (LXX) | **5** *ο οικτιρμων κατα παντα*] misericors ergo L | **8** *απλῃ*] simplici et sincera L | **10** *αυτου*] in nobis add. L | *ποῤῥω*] add. *γε* C | *αυτη*] *αυτου* C | *οπου*] quae L | **11** *τῃ ψυχῃ*] CL; *την ψυχην* A; dub. S | **12** *ηκουσαμεν και*] audiebamus L | **13** *συνβεβηκεν*] A; *συμβεβηκεν* C | **14** *πρωτον μεν φυλλοροει*] om. C | *μεν*] AS; om. L(?) | *φυλλοροει*] AS; folia mittit L (*φυλλοφυει* oder *φυλλοφορει*?) | *εισα βλαστος γινεται εισα φυλλον*] om. L | **15** *ανθος*] add. *γινεται* L (nascitur) (übrigens könnte mit deinde flos nascitur sehr wohl *εισα βλαστος γινεται* übersetzt sein, cf. 43 4 *βλαστησῃ* floruerit, 43 5 *βεβλαστηκυια* florida und die Paraphrase des Johannes Diaconus zu c. 43 f., in der auch *βλαστανειν* durch florere wiedergegeben wird, bei Pitra: Spicil. Solesm. I 293. In diesem Falle om. L *εισα φυλλον εισα ανθος*) | *και μετα ταυτα*] AC; *εισα* LS | *ταυτα*] add. fit L | **17** *ταχυ*] add. enim erit L | **18** *αυτου*] Dei L | *και*] om. L | **19** *οτι*] om. L | *εξαιφνης*] *εξαιχνης* A | *ηξει*] venit L (LXX).

XXIV. *Κατανοήσωμεν, ἀγαπητοί, πῶς ὁ δεσπότης ἐπιδείκνυται διηνεκῶς ἡμῖν τὴν μέλλουσαν ἀνάστασιν ἔσεσθαι. ἧς τὴν ἀπαρχὴν ἐποιήσατο τὸν κύριον Ἰησοῦν Χριστὸν ἐκ νεκρῶν ἀναστήσας. 2. ἴδωμεν, ἀγαπητοί, τὴν κατὰ καιρὸν γινομένην ἀνάστασιν. 3. ἡμέρα καὶ νὺξ ἀνάστασιν ἡμῖν δηλοῦσιν· κοιμᾶται ἡ νύξ, ἀνίσταται ἡμέρα, ἡ ἡμέρα ἄπεισιν, νὺξ ἐπέρχεται. 4. λάβωμεν τοὺς καρπούς· ὁ σπόρος πῶς καὶ τίνα τρόπον γίνεται; 5. ἐξῆλθεν ὁ σπείρων καὶ ἔβαλεν εἰς τὴν γῆν ἕκαστον τῶν σπερμάτων· ἅτινα πεσόντα εἰς τὴν γῆν ξηρὰ καὶ γυμνὰ διαλύεται, εἶτ' ἐκ τῆς διαλύσεως ἡ μεγαλειότης τῆς προνοίας τοῦ δεσπότου ἀνίστησιν αὐτά, καὶ ἐκ τοῦ ἑνὸς πλείονα αὔξει καὶ ἐκφέρει καρπόν.*

XXV. *Ἴδωμεν τὸ παράδοξον σημεῖον τὸ γινόμενον ἐν τοῖς ἀνατολικοῖς τόποις, τουτέστιν τοῖς περὶ τὴν Ἀραβίαν. 2. ὄρνεον γάρ ἐστιν ὃ προσονομάζεται φοῖνιξ· τοῦτο μονογενὲς ὑπάρχον ζῇ ἔτη πεντακόσια, γενόμενόν τε ἤδη πρὸς ἀπόλυσιν τοῦ ἀποθανεῖν αὐτό, σηκὸν ἑαυτῷ ποιεῖ ἐκ λιβάνου καὶ σμύρνης καὶ τῶν λοιπῶν ἀρωμάτων, εἰς ὃν πληρωθέντος τοῦ χρόνου τοῦ βίου εἰσέρχεται καὶ τελευτᾷ. 3. σηπομένης δὲ τῆς*

1 *αγαπητοι*] fratres L | *επιδεικνυται διηνεκως ημιν*] A; *διηνεκως ημιν επιδεικνυσι* C; monstrat nobis perpetuo S; L hat palam facit . . . et ostendit nobis (paraphr. oder las er *δεικτικως*? Die Ordnung dieselbe wie bei A) | **3** *την απαρχην*] add. *ηδη* S | *Χριστον*] om. C; add. filium suum L | **4** *αγαπητοι*] fratres L | *κατα καιρον*] C; *κατακαι . . .* A; in omni tempore S; L übersetzt *κατα καιρον γινομενην* mit cotidianam | *γινομενην*] add. *ημιν* S | **5** *αναστασιν . . . . . δηλουσιν*] L hat: surrectionem diei et noctis. Nox dormitio est dies surrectio | *κοιμαται . . . . . ημερα*] S übersetzt, als ob *κοιμαται* [*τις*] *νυκτος ανισταται ημερας* | **6** *ημερα*] *η ημερα* C; *η . . . .* A (Lightf.; Tisch. liest *η η . . .*) | *η ημερα . . . . . επερχεται*] om. L | **7** *τους καρπους*] et fructum L | *πως και τινα τροπον*] L hat nur quomodo | **8** *εκαστον . . . . . γυμνα*] om. L | **9** *ξηρα και γυμνα*] AC; *ξηραν* S | *διαλυεται*] praem. primum L | **10** *η μεγαλειοτης της προνοιας του δεσποτου*] majestas Dei providentiae suae L | **11** *αυτα*] illud L | *εκ του ενος πλειονα*] L hat diesen Zusatz hinter *καρπον* u. zw. de uno grano multum | **13** *ιδωμεν*] add. et L | **14** *τουτεστιν εν τοις περι την Αραβιαν*] in loco Arabiae L | **15** *εστιν*] om. L | *τουτο μονογενες υπαρχον ζη*] L hat: et est unica haec vivit | *μονογενες*] *μονογενης* A | **16** *τε*] A u. L (? quae); *δε* CS | *γενομενον . . . . . αυτο*] quae cum appropiaverit finis mortis ejus L (ist fini zu lesen?) | **18** *εις ον . . . . . χρονον*] et ut impletum scit esse sibi tempus L | **19** *του βιου*] LS; om. AC; add. suae S | *εισερχεται*] ibi intrat L | *τελευτα*] add. in illo S | *σηπομενης δε της σαρκος*] et de umore carnis ejus L | *δε*] AS; *τε* C; dub. L (et).

σαρκὸς σκώληξ τις γεννᾶται, ὃς ἐκ τῆς ἰκμάδος τοῦ τετελευτηκότος ζώου ἀνατρεφόμενος πτεροφυεῖ· εἶτα γενναῖος γενόμενος αἴρει τὸν σηκὸν ἐκεῖνον ὅπου τὰ ὀστᾶ τοῦ προγεγονότος ἐστίν, καὶ ταῦτα βαστάζων διανύει ἀπὸ τῆς Ἀραβικῆς χώρας ἕως τῆς Αἰγύπτου εἰς τὴν λεγομένην Ἡλιούπολιν. 4. καὶ ἡμέρας, βλεπόντων πάντων, ἐπιπτὰς ἐπὶ τὸν τοῦ ἡλίου βωμὸν τίθησιν αὐτά, καὶ οὕτως εἰς τοὐπίσω ἀφορμᾷ. 5. οἱ οὖν ἱερεῖς ἐπισκέπτονται τὰς ἀναγραφὰς τῶν χρόνων, καὶ εὑρίσκουσιν αὐτὸν πεντακοσιοστοῦ ἔτους πεπληρωμένου ἐληλυθέναι.

XXVI. *Μέγα καὶ θαυμαστὸν οὖν νομίζομεν εἶναι, εἰ ὁ δημιουργὸς τῶν ἁπάντων ἀνάστασιν ποιήσεται τῶν ὁσίως αὐτῷ δουλευσάντων ἐν πεποιθήσει πίστεως ἀγαθῆς, ὅπου καὶ δι' ὀρνέου δείκνυσιν ἡμῖν τὸ μεγαλεῖον τῆς ἐπαγγελίας αὐτοῦ; 2. λέγει γάρ που· Καὶ ἐξαναστήσεις με, καὶ ἐξομολογήσομαί σοι, καί· Ἐκοιμήθην καὶ ὕπνωσα, ἐξηγέρθην, ὅτι σὺ μετ' ἐμοῦ εἶ. 3. καὶ πάλιν Ἰὼβ λέγει· Καὶ ἀναστήσεις τὴν σάρκα μου ταύτην τὴν ἀνατλήσασαν ταῦτα πάντα.*

XXVI, 2) *Καὶ ἐξαν. — σοι* unde? Ps. 3 6. 22 4. — 3) Job. 19 26.

1 *γενναται*] AL; *εγγενναται* CS (nascitur in ea) | *ος*] *οστις* S (?) | *ος εκ . . . . . ανατρεφομενος πτεροφυει*] qui ibi enutritur et tempore suo fit pinnatus in avem qualis ante fuerat L | *τετελευτηκοτος*] *τελευτηκοτος* A; *τελευτησαντος* C | **2** *εἰτα . . . . . γενομενος*] et cum fortis factus fuerit L | **3** *εκεινον*] add. *κυκλοθεν αυτου* S | *του προγεγονοτος*] prioris corporis illius L | **4** *ταυτα*] illam L (sc. thecam, *σηκον*) | *βαστάζων*] *βασταζον* A | *βασταζων διανυει*] portat L | *διανυει* C; *διανεει* A; migrat volans S | **5** *εις*] add. coloniam L | **6** *ημερας*] interdie palam L | *παντων*] A; *απαντων* C | *επιπτας* AS; om. C; advolat et consedet L | **7** *τιθησιν*] ibi ponit L | *αυτα*] eam L (cf. Z. 4) | *και ουτως . . . . . αφορμᾷ*] et iterum revertitur unde venit L | *ουν*] tunc L | **8** *ιερεις*] add. *οι της Αιγυπτου* S | **9** *πεπληρωμενον*] *πληρουμενου* C | **11** *μεγα*] add. ergo L | *ει*] add. Deus L | **13** *δουλευσαντων*] *δουλευοντων* L (eorum qui serviunt) | *εν πεποιθησει πιστεως αγαθης*] et bona fide L | *και*] om. L | **14** *ημιν*] vobis L | *το μεγαλειον*] majestatem et veritatem L | *λεγει γαρ που*] sicut scriptum est in propheta L | **15** *και*] om. L | *και* 3°] et iterum scriptum est L | **16** *εκοιμηθην*] praem. ego L | *εξηγερθην*] AL; *και εξηγερθην* CS | *συ*] add. Domine L | **17** *Ιωβ λεγει*] dixit in Job L | *και*] om. L | *την σαρκα μου ταυτην*] corpus meum L | *σαρκα*] *σαρκαν* A | *ανατλησασαν*] A; *αντλησασαν* C (v. l. LXX); passum est L; toleravit S (lasen LS *ανατλησασαν*?) | **18** *ταυτα παντα*] multa mala L.

XXVII. *Ταύτῃ οὖν τῇ ἐλπίδι προσδεδέσθωσαν αἱ ψυχαὶ ἡμῶν τῷ πιστῷ ἐν ταῖς ἐπαγγελίαις καὶ τῷ δικαίῳ ἐν τοῖς κρίμασιν. 2. ὁ παραγγείλας μὴ ψεύδεσθαι, πολλῷ μᾶλλον αὐτὸς οὐ ψεύσεται· οὐδὲν γὰρ ἀδύνατον παρὰ τῷ θεῷ εἰ μὴ τὸ ψεύσασθαι. 3. ἀναζωπυρησάτω οὖν ἡ πίστις αὐτοῦ ἐν ἡμῖν, καὶ* 5
νοήσωμεν ὅτι πάντα ἐγγὺς αὐτῷ ἐστίν. 4. ἐν λόγῳ τῆς μεγαλωσύνης αὐτοῦ συνεστήσατο τὰ πάντα, καὶ ἐν λόγῳ δύναται αὐτὰ καταστρέψαι. 5. Τίς ἐρεῖ αὐτῷ· Τί ἐποίησας; ἢ τίς ἀντισταθήσεται τῷ κράτει τῆς ἰσχύος αὐτοῦ; ὅτι ὅτε θέλει καὶ ὡς θέλει 10
ποιήσει πάντα, καὶ οὐδὲν μὴ παρέλθῃ τῶν δεδογματισμένων ὑπ᾽ αὐτοῦ. 6. πάντα ἐνώπιον αὐτοῦ εἰσίν, καὶ οὐδὲν λέληθεν τὴν βουλὴν αὐτοῦ, 7. εἰ οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα· ἡ ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν· καὶ οὐκ εἰσὶν λόγοι οὐδὲ λαλιαί, 15
ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν.

XXVIII. *Πάντων οὖν βλεπομένων καὶ ἀκουομένων, φοβηθῶμεν αὐτὸν καὶ ἀπολίπωμεν φαύλων ἔργων μιαρὰς ἐπιθυ-*

XXVII, 5) Sap. 12 12. 11 22. — 7) Ps. 18 2—4.

1 *προσδεδεσθωσαν*] AS; *προσδεχεσθωσαν* C; L dub.: erant (wofür Mor. hereant liest, schwerlich mit Recht, da haerere immer (7 mal) *κολλασθαι* wiedergiebt und allemal mit dem Dativ verbunden ist, nicht mit ad) | **2** *τῳ*] ad Deum, qui . . . L | *εν ταις*] A; *ταις* C; dub. S | *εν ταις επαγγελιαις*] et potens L | *τῳ δικαιῳ*] A; *δικαιῳ* C u. S(?); dub. L | *εν τοις κριμασιν*] in judicando L (*εν τῳ κρινεσθαι*) | **3** *ο*] add. *γαρ* L (vor *παρ* . . . . leicht möglich) | *πολλῳ μαλλον* . . . . . *ψευσασθαι*] om. L | **4** *τῳ θεῳ*] A; *θεῳ* C | *το ψευσασθαι*] A u. S(?); *ψευσασθαι* C | **6** *εγγυς αυτῳ εστιν*] om. L | **7** *τα παντα*] A u. S (?); *παντα* C; om. L | **8** *τις*] et quis L | **9** *οτι οτε*] L (quia cum); *οτε* ACS (vgl. Prol. S. 59) | *θελει* 1°] volet L | **10** *ποιησει*] *ποιησα* C | *παντα*] add. enim L | **11** *υπ αυτου*] a Deo L | **12** *οι ουρανοι*] A; om. *οι* C | *ποιησαν*] opera L | **13** *το στερεωμα* . . . . . *φοβηθωμεν* (Z. 16)] *το στερεωμα· και ακουονται αι φωναι παντων βλεπομενων και ακουομενων· φοβηθωμεν κτλ.* C | *η ημερα*] praem. si L | **14** *αναγγελλει*] AL; *αναγγελει* S | *λογοι λαλιαι*] A; *λαλιαι λογοι* LS (LXX) | **15** *αι φωναι*] AL; *ταις φωναις* S (? ܩܠܗܘܢ) | L beginnt mit Si caeli (*ει οι ουρανοι* Z. 12) den Vordersatz einer hypothetischen Periode, setzt hinter eorum (*αυτων* Z. 15) keinen Punkt und lässt mit c. 28 den Nachsatz beginnen. Auch in C ist offenbar eine ähnliche Construction beabsichtigt. Das schwierige *ει* Z. 12 war die Veranlassung zu dieser Auffassung des Satzbaues | **16** *παντων* propter omnia L | *ουν*] AL; *τε* S; om. C | **17** *αυτον*] Deum L | *απολιπωμεν*] C; *απολειπωμεν* A | *μιαρας*] *βλαβερας* C.

μίας, ἵνα τῷ ἐλέει αὐτοῦ σκεπασθῶμεν ἀπὸ τῶν μελλόντων κριμάτων. 2. *ποῦ γάρ τις ἡμῶν δύναται φυγεῖν ἀπὸ τῆς κραταιᾶς χειρὸς αὐτοῦ; ποῖος δὲ κόσμος δέξεταί τινα τῶν αὐτομολούντων ἀπ' αὐτοῦ; λέγει γάρ που τὸ γραφεῖον·* 3. *Ποῦ ἀφήξω καὶ ποῦ κρυβήσομαι ἀπὸ τοῦ προσώπου σου; ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν, σὺ ἐκεῖ εἶ· ἐὰν ἀπέλθω εἰς τὰ ἔσχατα τῆς γῆς, ἐκεῖ ἡ δεξιά σου· ἐὰν καταστρώσω εἰς τὰς ἀβύσσους, ἐκεῖ τὸ πνεῦμά σου.* 4. *ποῖ οὖν τις ἀπέλθῃ ἢ ποῦ ἀποδράσῃ ἀπὸ τοῦ τὰ πάντα ἐμπεριέχοντος;*

XXIX. *Προσέλθωμεν οὖν αὐτῷ ἐν ὁσιότητι ψυχῆς, ἁγνὰς καὶ ἀμιάντους χεῖρας αἴροντες πρὸς αὐτόν, ἀγαπῶντες τὸν ἐπιεικῆ καὶ εὔσπλαγχνον πατέρα ἡμῶν, ὃς ἐκλογῆς μέρος ἡμᾶς ἐποίησεν ἑαυτῷ.* 2. *οὕτω γὰρ γέγραπται· Ὅτε διεμέριζεν ὁ ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς Ἀδάμ, ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων θεοῦ. ἐγενήθη μερὶς κυρίου λαὸς αὐτοῦ Ἰακώβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ.* 3. *καὶ ἐν ἑτέρῳ τόπῳ λέγει· Ἰδοὺ κύριος λαμβάνει ἑαυτῷ ἔθνος ἐκ μέσου ἐθνῶν, ὥσπερ λαμβάνει ἄνθρωπος τὴν ἀπαρχὴν αὐτοῦ τῆς ἅλω· καὶ ἐξελεύσεται ἐκ τοῦ ἔθνους ἐκείνου ἅγια ἁγίων.*

XXX. *Ἁγία οὖν μερὶς ὑπάρχοντες ποιήσωμεν τὰ τοῦ ἁγιασμοῦ πάντα, φεύγοντες καταλαλιάς, μιαράς τε καὶ ἀνάγνους*

XXVIII, 3) Ps. 138 7 sqq. — XXIX, 2) Deut. 32 8 sq. — 3) Deut. 4 34. 14 2. Num. 18 27. II Chr. 31 14. Ezech. 48 12.

1 *των μελλοντων κριματων*] AC; *του μελλοντος κριματος* LS | **2** *δυναται*] poterit L | **3** *κοσμος*] creatura L | **4** *απ αυτου*] a Deo L | *που*] om. L | **5** *αφηξω*] ACS; *φυγω* (fugiam) Clem. L (LXX) | *του*] AC; om. Clem. **6** *εκει ει*] CLS Clem. (LXX ℵ$^{c.\ a}$ RT); *ει εκει* A (LXX ℵ* AB) | *εαν*] et si L | *τα εσχατα*] fundamenta L (36 4 besser: terminos) | *γης*] *θαλασσης* Clem. *εκει η δεξια σου*] A Clem. S; ibi manus tua tenebit me L; *σε εκει ει* C **7** *εαν*] et si L | *καταστρωσω*] ACS; descendero L (*καταβω* Clem. LXX) | *τας αβυσσους*] abysso L | **8** *ποι*] A; *που* C | *ουν*] om. S | *που*] add. *τις* C | *αποδρασῃ*] A; *αποδρασει* C; dub. LS (L hat fugiet, aber auch *απελθῃ* übersetzt er mit ibit) | *τα παντα*] A; *παντα* C u. S (?) | **10** *ουν*] om. S | *αυτῳ*] ad Deum L | *αγνας*] purae (*αγνης*) L | **11** *αυτου*] Deum L | **12** *επιεικη*] *επιεικην* A | *ημας*] CS u. L (dessen nobis wohl in nos sibi zu ändern ist); om. A | **13** *ουτω*] A; *ουτως* C | **15** *αριθμον*] *αριθον* A | *εγενηθη*] AC; *και εγενηθη* LS (LXX) | **18** *αυτου της αλω*] areae sibi L (parallel zum 1. Gliede) | **20** *αγια ουν μεριδες*] LS; *αγια ουν μερη* C; *αγιον ουν μερις* A | **21** *παντα*] omnia opera L | *καταλαλιας, μιαρας τε και αναγνους συμπλοκας*] L zieht *μιαρας τε* zu *καταλαλιας*; S verbindet *μιαρας τε και αναγνους* mit *καταλαλιας* | *μιαρας τε*] AS; om. *τε* C; dub. L | *αναγνους*] *αγνους* A.

συμπλοκάς, μέθας τε καὶ νεωτερισμοὺς καὶ βδελυκτὰς ἐπιθυμίας, μυσεράν τε μοιχείαν, καὶ βδελυκτὴν ὑπερηφανίαν. 2. *Θεὸς γάρ, φησίν, ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσιν χάριν·* 3. *Κολληθῶμεν οὖν ἐκείνοις οἷς ἡ χάρις ἀπὸ τοῦ θεοῦ δέδοται· ἐνδυσώμεθα τὴν ὁμόνοιαν ταπεινοφρονοῦντες, ἐγκρατευόμενοι, ἀπὸ παντὸς ψιθυρισμοῦ καὶ καταλαλιᾶς πόρρω ἑαυτοὺς ποιοῦντες, ἔργοις δικαιούμενοι μὴ λόγοις.* 4. *λέγει γάρ· Ὁ τὰ πολλὰ λέγων καὶ ἀνταkούσεται· ἢ ὁ εὔλαλος οἴεται εἶναι δίκαιος;* 5. *εὐλογημένος γεννητὸς γυναικὸς ὀλιγόβιος· μὴ πολὺς ἐν ῥήμασιν γίνου.* 6. *Ὁ ἔπαινος ἡμῶν ἔστω ἐν θεῷ, καὶ μὴ ἐξ αὐτῶν· αὐτεπαινετοὺς γὰρ μισεῖ ὁ θεός.* 7. *ἡ μαρτυρία τῆς ἀγαθῆς πράξεως ἡμῶν διδόσθω ὑπ' ἄλλων, καθὼς ἐδόθη τοῖς πατράσιν ἡμῶν τοῖς δικαίοις.* 8. *θράσος καὶ αὐθάδεια καὶ τόλμα τοῖς κατηραμένοις ὑπὸ τοῦ θεοῦ· ἐπιείκεια καὶ ταπεινοφροσύνη καὶ πραύτης παρὰ τοῖς ηὐλογημένοις ὑπὸ τοῦ θεοῦ.*

XXXI. *Κολληθῶμεν οὖν τῇ εὐλογίᾳ αὐτοῦ, καὶ ἴδωμεν τίνες αἱ ὁδοὶ τῆς εὐλογίας. ἀνατυλίξωμεν τὰ ἀπ' ἀρχῆς γενόμενα.* 2. *τίνος χάριν ηὐλογήθη ὁ πατὴρ ἡμῶν Ἀβραάμ; οὐχὶ δικαιοσύνην καὶ ἀλήθειαν διὰ πίστεως ποιήσας;* 3. *Ἰσαὰκ μετὰ πεποιθήσεως γινώσκων τὸ μέλλον ἡδέως προσήγετο θυσία.*

XXX, 2) Prov. 3 34. — 4) Job. 11 2 sq. — XXXI, 3) Gen., 22 7 sq.

1 *συμπλοκας*] *και συμπλοκας* S | *και νεωτερισμους*] omnes adinventiones L | *και βδελυκτας*] om. *και* L | **2** *μυσεραν*] A; *μυσαραν* C | *μυσεραν τε*] om. *τε* A | *και*] om. A | *θεος γαρ φησιν*] quia Deus L | **4** *απο*] om. C | **5** *εγκρατευομενοι*] et abstinentes ab omnibus malis L | **6** *απο*] et ab L | *καταλαλιᾶς . . . εαυτους ποιουντες*] S verbindet *απο παντος ψιθυρισμου* mit *εγκρατευομενοι* und übersetzt als läse er: *καταλαλιὰς . . . εαυτων ποιουντες* | **7** *εργοις*] add. justis L | *μη*] CL: praem. *και* AS | **8** *η*] A; et L; *ει* C; *ἦ* S | *οιεται*] non potet (= putet) L (*μη οιεσθω*) | **9** *ευλογημενος γεννητος γυναικος ολιγοβιος*] A; *γεννητος γυναικος ολιγοβιος* C; benedictus natus mulieris L; *γεννητος γεννητος* (ܝܠܝܕ ܐܝܠܝܕ) *γυναικος ολιγοβιος* S | **10** *ημων*] *υμων* C | *θεῳ*] A; *τῳ θεῳ* C | *και*] om. L | **11** *γαρ*] om. S | *μαρτυρια*] add. nobis L | *αγαθης*] om. C | **12** *ημων* 1°] AL; *υμων* CS | *εδοθη*] *εδεηθη* A | **13** *θρασος και αυθαδεια και τολμα*] petulantia et audatia et contumelia et temeritas L | **14** *υπο του θεου*] om. C | *επιεικεια*] nam clementia L (*επιεικεια δε*) | *ταπεινοφροσυνη και πραυτης*] *πραυτης και ταπεινοφροσυνη* S(?) | *πραυτης*] A; *πραοτης* C | **16** *αυτου*] Dei L | **18** *ουχι . . . . . ποιησας*] nonne propter justitiam et veritatem in fide quam habuit L | **19** *δια πιστεως*] AS; in fide L; om. C | *Ισαακ*] praem. item L | **20** *ηδεως*] *και ηδεως* S | *θυσια*] ad victimam L (Gen. 22 2, 7, 13).

4. Ἰακὼβ μετὰ ταπεινοφροσύνης ἐξεχώρησεν τῆς γῆς αὐτοῦ
διʼ ἀδελφὸν καὶ ἐπορεύθη πρὸς Λάβαν καὶ ἐδούλευσεν, καὶ
ἐδόθη αὐτῷ τὸ δωδεκάσκηπτρον τοῦ Ἰσραήλ.

XXXII. Ὁ ἐάν τις καθʼ ἓν ἕκαστον εἰλικρινῶς κατα-
νοήσῃ, ἐπιγνώσεται μεγαλεῖα τῶν ὑπʼ αὐτοῦ δεδομένων δω-
ρεῶν. 2. ἐξ αὐτοῦ γὰρ ἱερεῖς καὶ Λευῖται πάντες οἱ λειτουρ-
γοῦντες τῷ θυσιαστηρίῳ τοῦ θεοῦ· ἐξ αὐτοῦ ὁ κύριος Ἰησοῦς
τὸ κατὰ σάρκα· ἐξ αὐτοῦ βασιλεῖς καὶ ἄρχοντες καὶ ἡγούμενοι
κατὰ τὸν Ἰούδαν· τὰ δὲ λοιπὰ σκῆπτρα αὐτοῦ οὐκ ἐν μικρᾷ
δόξῃ ὑπάρχουσιν, ὡς ἐπαγγειλαμένου τοῦ θεοῦ ὅτι Ἔσται τὸ
σπέρμα σου ὡς οἱ ἀστέρες τοῦ οὐρανοῦ. 3. Πάντες οὖν ἐδοξάσθησαν
καὶ ἐμεγαλύνθησαν οὐ διʼ αὐτῶν ἢ τῶν ἔργων αὐτῶν ἢ τῆς δι-
καιοπραγίας ἧς κατειργάσαντο, ἀλλὰ διὰ τοῦ θελήματος αὐτοῦ.
4. καὶ ἡμεῖς οὖν, διὰ θελήματος αὐτοῦ ἐν Χριστῷ Ἰησοῦ κλη-
θέντες, οὐ διʼ ἑαυτῶν δικαιούμεθα οὐδὲ διὰ τῆς ἡμετέρας
σοφίας ἢ συνέσεως ἢ εὐσεβείας ἢ ἔργων ὧν κατειργασάμεθα ἐν
ὁσιότητι καρδίας, ἀλλὰ διὰ τῆς πίστεως, διʼ ἧς πάντας τοὺς
ἀπʼ αἰῶνος ὁ παντοκράτωρ θεὸς ἐδικαίωσεν· ᾧ ἔστω ἡ δόξα
εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

XXXIII. Τί οὖν ποιήσωμεν, ἀδελφοί; ἀργήσωμεν ἀπὸ τῆς
ἀγαθοποιΐας καὶ ἐγκαταλίπωμεν τὴν ἀγάπην; μὴ γένοιτο τοῦτο

4) Gen. 28 sq. — XXXII, 2) Rom. 9, 5. Gen. 22, 17.

1 *Ιακωβ*] et Jacob L | **2** *αδελφον*] add. suum L | *εδουλευσεν*] add. ei L | **4** *ο εαν*] *ο αν* C, quod si L; quae si (*α εαν*) S; def. A | *ειλικρινως*] diligenter L | **5** *τωι υπ αυτου δεδομενων δωρεων*] munerum Dei quae ipse dedit L | **6** *αυτου*] LS; *αυτων* AC | *γαρ*] add. sunt nati L | *ιερεις*] A; *οι ιερεις* C | *παντες*] praem. et L | *οι*] om. S (?) | **9** *κατα*] praem. *οι* S | *δε*] AL; *τε* CS | *αυτου*] om. C | *ουκ*] nec L (*ουδ*ʼ?) | **10** *δοξῃ*] *τοξει* C | *του θεου*] A; *θεου* C | **12** *αὐτων* 1°] *αὐτων* C (hinter *εργων* hat er *αὐτων*) | *των*] L wiederholt vor *των* die Präposition (propter), ebenso vor *της* | **13** *αυτου*] *του θεου* S | **14** *και ημεις . . . . . θεληματος αυτου*] om. C | **15** *ημετερας*] *ημερας* A | **16** *κατειργασαμεθα*] dinumeravimus L (*κατηριθμησαμεθα* oder *κατελογισαμεθα*?) | **17** *παντας*] A; *απαντας* C | *τους*] *του* A | **18** *η δοξα*] honor et gloria L | **19** *τους αιωνας των αιωνων*] *αιωνας* C | **20** *τι ουν ποιησωμεν*] AS; *τι ουν ερουμεν* CL (Rm 6 1) | *αδελφοι αγαπητοι* CS | *ογρησωμεν, εγκαταλιπωμεν*] *αργησωμεν, εγκαταλειπωμεν* A; *αργησομεν, καταλιπομεν* C; cessabimus, derelinquemus (das wäre *αργησομεν, εγκαταλειψομεν*, doch übersetzt L öfters den Conj. mit Fut., cf. 28 4); dub. S | **21** *και*] om. C.

ἔᾶσαι ὁ δεσπότης ἐφ' ἡμῖν γενηθῆναι, ἀλλὰ σπεύσωμεν μετὰ ἐκτενείας καὶ προθυμίας πᾶν ἔργον ἀγαθὸν ἐπιτελεῖν. 2. αὐτὸς γὰρ ὁ δημιουργὸς καὶ δεσπότης τῶν ἁπάντων ἐπὶ τοῖς ἔργοις αὐτοῦ ἀγάλλεται. 3. τῷ γὰρ παμμεγεθεστάτῳ αὐτοῦ κράτει οὐρανοὺς ἐστήρισεν καὶ τῇ ἀκαταλήπτῳ αὐτοῦ συνέσει διεκόσμησεν αὐτούς· γῆν τε διεχώρισεν ἀπὸ τοῦ περιέχοντος αὐτὴν ὕδατος καὶ ἤδρασεν ἐπὶ τὸν ἀσφαλῆ τοῦ ἰδίου βουλήματος θεμέλιον. τά τε ἐν αὐτῇ ζῶα φοιτῶντα τῇ ἑαυτοῦ διατάξει ἐκέλευσεν εἶναι· θάλασσαν καὶ τὰ ἐν αὐτῇ ζῶα προετοιμάσας ἐνέκλεισεν τῇ ἑαυτοῦ δυνάμει. 4. ἐπὶ πᾶσι τὸ ἐξοχώτατον καὶ παμμέγεθες, ἄνθρωπον, ταῖς ἱεραῖς καὶ ἀμώμοις χερσὶν ἔπλασεν, τῆς ἑαυτοῦ εἰκόνος χαρακτῆρα. 5. οὕτως γάρ φησιν ὁ θεός· Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν. καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. 6. ταῦτα οὖν πάντα τελειώσας ἐπήνεσεν αὐτὰ καὶ ηὐλόγησεν καὶ εἶπεν· Αὐξάνεσθε καὶ πληθύνεσθε. 7. Ἴδωμεν ὅτι ἐν ἔργοις ἀγαθοῖς πάντες ἐκοσμήθησαν οἱ δίκαιοι, καὶ αὐτὸς δὲ ὁ κύριος ἔργοις ἀγαθοῖς ἑαυτὸν κοσμήσας ἐχάρη. 8. ἔχοντες οὖν τοῦτον τὸν ὑπογραμμὸν ἀόκνως προσέλθωμεν

XXXIII, 5) Gen. 1 26 sq. — 6) Gen. 1 28.

1 *εασαι ο δεσποτης*] A u. L (?); *ο δεσποτης εασαι* C; dub. S | *γενηθηναι*] praem. *γε* A | **4** *αγαλλεται*] C Leont. Damasc.; *αγαλλιαται* A | *παμμεγεθεστατῳ*] AC; *παμμεγεστατῳ* Leont. Damasc. | **5** *εστηρισεν*] AC; *εστηριξεν* Leont. Damasc. | *τῃ*] AL Leont. Damasc.; *εν τῃ* C; dub. S | **6** *τε*] ACL; *δε* Leont. Damasc. | *διεχωρισεν*] C Leont ; *εχωρισεν* Damasc.; def. A; dub. LS **7** *ηδρασεν*] AC Damasc.; *εδρασεν* Leont. | *ασφαλη*] diligentissimum L | *βουλληματος*] AC; consilii L (auf jeden Fall ein Wort von √*βουλ*); *θεληματος* Leont. Damasc.; dub. S | S *τα τε . . . δυναμει* (Z. 10)] om. Leont. Damasc. *τε*] vero L (*δε*) | *φοιτωντα*] quae . . . crescunt L (*φυτωντα*) | *εαυτου*] *εαυτων* C | **9** *προετοιμασας*] *προδημι*[*ουργη*]*σας* A | **10** *επι πασι . . . . . παμμεγεθες*] ACL; *επι τουτοις τον εξοχωτατον* (*εξοτατον* Leont.) *και παμμεγεθη* Leont. Damasc. S | **11** *παμμεγεθες*] *παμμεγεθεστατον* C | *ανθρωπον*] LS Leont. Damasc.; praem. *κατα διανοιαν* AC | *ταις ιεραις*] ACL; *ιδιαις αυτου* Leont. Damasc. | **13** *εικονα*] add. Damasc. *ημετεραν*, das er hinter *ομοιωσιν* auslässt | *καθ'* om. L | **15** *ουν*] *δε* L (vero) | *επηνεσεν*] AC; *επαινεσεν* Leont.; *εποιησεν* Damasc. (wie Anf. d. Z.) | **16** *ιδωμεν* ACLS; *ειδομεν* conj. Joung, v. Gebh., Lightf., Bryen. | **17** *οτι*] *οτιτο* A | *εργοις*] *εγγοις* A | *εκοσμηθησαν*] *εκοιμηθησαν* S | **18** *δε*] CS (und L, der *και . . . δε* mit et übersetzt, ein *ουν* hätte er nicht ausgelassen); *ουν* A | *αγαθοις*] om. A (L hat nostris, aber es ist wohl bonis zu ändern).

τῷ θελήματι αὐτοῦ, ἐξ ὅλης τῆς ἰσχύος ἡμῶν ἐργασώμεθα ἔργον δικαιοσύνης.

XXXIV. *Ὁ ἀγαθὸς ἐργάτης μετὰ παρρησίας λαμβάνει τὸν ἄρτον τοῦ ἔργου αὐτοῦ, ὁ νωθρὸς καὶ παρειμένος οὐκ ἀντοφθαλμεῖ τῷ ἐργοπαρέκτῃ αὐτοῦ.* 2. *δέον οὖν ἐστὶν προθύμους ἡμᾶς εἶναι εἰς ἀγαθοποιΐαν· ἐξ αὐτοῦ γάρ ἐστιν τὰ πάντα.* 3. *προλέγει γὰρ ἡμῖν· Ἰδοὺ ὁ κύριος καὶ ὁ μισθὸς αὐτοῦ πρὸ προσώπου αὐτοῦ, ἀποδοῦναι ἑκάστῳ κατὰ τὸ ἔργον αὐτοῦ.* 4. *προτρέπεται οὖν ἡμᾶς πιστεύοντας ἐξ ὅλης τῆς καρδίας ἐπ' αὐτῷ, μὴ ἀργοὺς μηδὲ παρειμένους εἶναι ἐπὶ πᾶν ἔργον ἀγαθόν.* 5. *τὸ καύχημα ἡμῶν καὶ ἡ παρρησία ἔστω ἐν αὐτῷ· ὑποτασσώμεθα τῷ θελήματι αὐτοῦ· κατανοήσωμεν τὸ πᾶν πλῆθος τῶν ἀγγέλων αὐτοῦ, πῶς τῷ θελήματι αὐτοῦ λειτουργοῦσιν παρεστῶτες.* 6. *λέγει γὰρ ἡ γραφή· Μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ, καὶ χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ ἐκέκραγον· Ἅγιος ἅγιος ἅγιος κύριος σαβαώθ, πλήρης πᾶσα ἡ κτίσις τῆς δόξης αὐτοῦ.* 7. *καὶ ἡμεῖς οὖν, ἐν ὁμονοίᾳ ἐπὶ τὸ αὐτὸ συναχθέντες τῇ συνειδήσει, ὡς ἐξ ἑνὸς στόματος βοήσωμεν πρὸς αὐτὸν ἐκτενῶς, εἰς τὸ μετόχους ἡμᾶς γενέσθαι τῶν μεγάλων καὶ ἐνδόξων ἐπαγγελιῶν αὐτοῦ.* 8. *λέγει γάρ· Ὀφθαλμὸς οὐκ εἶδεν καὶ οὖς οὐκ ἤκουσεν καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη ὅσα ἡτοίμασεν † κύριος † τοῖς ὑπομένουσιν αὐτόν.*

XXXV. *Ὡς μακάρια καὶ θαυμαστὰ τὰ δῶρα τοῦ θεοῦ, ἀγα-*

XXXIV, 3) Jes. 40 10. 62 11. — 6) Dan. 7 10. Jes. 6 3. — 8) I Cor. 2 9.

1 *εξ*] AL; praem. *και* CS | *της*] C; om. **A** | **4** *ο*] add. *δε* S | *αντοφθαλμει*] add. ad Deum L | **6** *ημας*] *υμας* S | *εξ αυτου*] von S neutrisch gefasst | **7** *ο κυριος*] A; *κυριος* C Clem. | **8** *το εργον*] ACS; *τα εργα* L Clem. | **9** *πιστευοντας*] om. A | **10** *μηδε*] CS; *μητε* A; dub. L | **11** *υποτασσωμεθα*] subdita L *υποτασσομενα*) | **14** *λεγει γαρ η γραφη*] om. L | *μυριαι μυριαδες, χιλιαι χιλιαδες*] milia milium, dena milia milium L (LXX) | *παρειστηκεισαν, ελειτουργουν*] CLA (doch dieser *λιτουργον*); adsistunt, deserviunt S (als Präsentia) | **16** *κυριος*] Dominus Deus L | *πασα*] add. majestate L | *κτισις*] *γη* C (LXX) | **17** *τη συνειδησει*] in una conscientia S | **19** *γενεσθαι*] esse possimus L | *ενδοξων*] honorificentissimarum L | **20** *οφθαλμος*] A; praem. *α* CLS Clem. (I Cor. 2 9) | *και . . . ουκ*] das zweimalige *και . . . ουκ* übersetzt L mit nec, als ob *ουδε* dastünde (cf. Jes. 54 4 LXX *ουδε*) | **21** *οσα*] AC; *α* Clem. L; om. S | **22** *κυριος*] CLS; *ο θεος* Clem.; om. A | *υπομενουσιν*] AL; *αγαπωσιν* CS Clem. | **23** *αγαπητοι*] von L hinter *θαυμαστα* übersetzt.

πητοί. 2. *ζωὴ ἐν ἀθανασίᾳ, λαμπρότης ἐν δικαιοσύνῃ, ἀλήθεια ἐν παρρησίᾳ, πίστις ἐν πεποιθήσει, ἐγκράτεια ἐν ἁγιασμῷ· καὶ ταῦτα ὑποπίπτοντα ὑπὸ τὴν διάνοιαν ἡμῶν.* 3. *τίνα οὖν ἄρα ἐστὶν τὰ ἑτοιμαζόμενα τοῖς ὑπομένουσιν; ὁ δημιουργὸς καὶ πατὴρ τῶν αἰώνων ὁ πανάγιος αὐτὸς γινώσκει τὴν ποσότητα καὶ τὴν καλλονὴν αὐτῶν.* 4. *ἡμεῖς οὖν ἀγωνισώμεθα εὑρεθῆναι ἐν τῷ ἀριθμῷ τῶν ὑπομενόντων, ὅπως μεταλάβωμεν τῶν ἐπηγγελμένων δωρεῶν.* 5. *πῶς δὲ ἔσται τοῦτο, ἀγαπητοί; ἐὰν ἐστηριγμένη ᾖ ἡ διάνοια ἡμῶν πιστῶς πρὸς τὸν θεόν· ἐὰν ἐκζητῶμεν τὰ εὐάρεστα καὶ εὐπρόσδεκτα αὐτῷ· ἐὰν ἐπιτελέσωμεν τὰ ἀνήκοντα τῇ ἀμώμῳ βουλήσει αὐτοῦ καὶ ἀκολουθήσωμεν τῇ ὁδῷ τῆς ἀληθείας, ἀπορρίψαντες ἀφ' ἑαυτῶν πᾶσαν ἀδικίαν καὶ πονηρίαν, πλεονεξίαν, ἔρεις, κακοηθείας τε καὶ δόλους, ψιθυρισμούς τε καὶ καταλαλιάς, θεοστυγίαν, ὑπερηφανίαν τε καὶ ἀλαζονείαν, κενοδοξίαν τε καὶ † φιλοδοξίαν †.* 6. *ταῦτα γὰρ οἱ πράσσοντες στυγητοὶ τῷ θεῷ ὑπάρχουσιν· οὐ μόνον δὲ οἱ πράσσοντες αὐτά, ἀλλὰ καὶ οἱ συνευδοκοῦντες αὐτοῖς.* 7. *λέγει γὰρ ἡ γραφή· Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ θεός· Ἰνατί σὺ διηγῇ τὰ δικαιώματά μου καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου ἐπὶ στόματός σου;* S. *σὺ δὲ ἐμίσησας παιδείαν καὶ ἐξέβαλες τοὺς λόγους*

XXXV, 5) Rom. 1 29—32. — 7) Ps. 49 16—23.

1 *λαμπροτης εν δικαιοσυνη*] om. L | **3** *υποπιπτοντα*] LS; *υπεπιπτεν παντα* A; *υποπιπτει παντα* C (vgl. Prol. S. 67) | **4** *τα ετοιμαζομενα*] quae praeparabuntur L | *και πατηρ των αιωνων ο παναγιος*] *των αιωνων και πατηρ παναγιος* C | **5** *ποσοτητα*] qualitatem L (*ποιοτητα*?) | **7** *υπομενοντων*] CL; add. *αυτον* A; add. *και αγαπωντων* S | **8** *των επηγγελμενων δωρεων*] AL; *των δωρεων των επηγγελμενων* C u. S (?) | *αγαπητοι*] om. S **9** *εαν* 1°] si et L | *η*] AL; om. C | *πιστως*] CL; *πιστεως* A; *δια πιστεως* S | **10** *εκζητωμεν*] A; *εκζητησωμεν* C | *τα εναρεστα και ευπροσδεκτα αυτω*] *τα αγαθα και εναρεστα αυτω και ευπροσδεκτα* C | **12** *απορριψαντες*] si projicientes L | **13** *και πονηριαν*] maliciam et L | *πονηριαν*] *ανομιαν* A | *πλεονεξιαν*] om. C | **14** *καταλαλιας, θεοστυγιαν*] contumatias et contumelias L (als ob *στασεις και υβριδας*) | *υπερηφανιαν τε*] AC; *και υπερηφανιαν* S; dub. L | *υπερηφανιαν τε και αλαζονειαν, κενοδοξιαν τε*] superbiam et vanam gloriam et vanitates L | **15** *φιλοδοξιαν*] L (inhumilitatem); *φιλοξενιαν* A (was schon Birr in *φιλοδοξιαν* änderte); *αφιλοξενιαν* CS (vgl. Prol. S. 69) | **17** *μονον*] *μον* A | *δε*] om. L | *αυτοις*] facientibus L | **19** *διηγῃ*] A; *εκδιηγῃ* C; dub. LS | *επι*] AL; *δια* CS (LXX) | **20** *σου*] *μου* **A** | *συ δε . .* bis *ρυομενος* S. 124 Z. 8] om. C | *εξεβαλες*] LS; *εξεβαλλες* A.

μου εἰς τὰ ὀπίσω. εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ, καὶ μετὰ μοιχῶν τὴν μερίδα σου ἐτίθεις· τὸ στόμα σου ἐπλεόνασεν κακίαν, καὶ ἡ γλῶσσά σου περιέπλεκεν δολιότητα· καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον. 9. ταῦτα ἐποίησας, καὶ ἐσίγησα· ὑπέλαβες, ἄνομε, ὅτι ἔσομαί σοι ὅμοιος. 10. ἐλέγξω σε καὶ παραστήσω σε κατὰ πρόσωπόν σου. 11. σύνετε δὴ ταῦτα, οἱ ἐπιλανθανόμενοι τοῦ θεοῦ, μήποτε ἁρπάσῃ ὡς λέων, καὶ μὴ ᾖ ὁ ῥυόμενος. 12. θυσία αἰνέσεως δοξάσει με, καὶ ἐκεῖ ὁδὸς ἣν δείξω αὐτῷ τὸ σωτήριον τοῦ θεοῦ.

XXXVI. Αὕτη ἡ ὁδός, ἀγαπητοί, ἐν ᾗ εὗρομεν τὸ σωτήριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν ἀρχιερέα τῶν προσφορῶν ἡμῶν, τὸν προστάτην καὶ βοηθὸν τῆς ἀσθενείας ἡμῶν. 2. διὰ τούτου ἀτενίζομεν εἰς τὰ ὕψη τῶν οὐρανῶν· διὰ τούτου ἐνοπτριζόμεθα τὴν ἄμωμον καὶ ὑπερτάτην ὄψιν αὐτοῦ· διὰ τούτου ἠνεῴχθησαν ἡμῶν οἱ ὀφθαλμοὶ τῆς καρδίας· διὰ τούτου ἡ ἀσύνετος καὶ ἐσκοτωμένη διάνοια ἡμῶν ἀναθάλλει εἰς τὸ φῶς· διὰ τούτου ἠθέλησεν ὁ δεσπότης τῆς ἀθανάτου γνώσεως ἡμᾶς γεύσασθαι· ὃς ὢν ἀπαύγασμα τῆς μεγαλωσύνης αὐτοῦ, τοσούτῳ μείζων

XXXVI, 2) Hebr. 1 3 sq.

1 εις τα οπισω] AS; post te L (οπισω σου?) | **2** επλεονασεν] AL; επλεονεζεν S | **3** αδελφον] αδελφους A | **5** ανομε] A (LXX ℵ*); ανομιαν LS (LXX) | **6** σε κατα προσωπον σου] A; ea coram te L: κατα προσωπον σου τας αμαρτιας σου S | συνετε δη] et intellegite L | **7** ταυτα] add. omnes L | S θυσια αινεσεως] praem. και εν τω τελει C | ημ] in qua L (ᾗ LXX ℵB) **9** αυτω] αυτοις S | τον θεον] μου C | **10** το σωτηριον] salutem L (σωτηριαν) | **11** ημων] nobis L | Ιησουν Χριστον] in Jhesum Christum L | τον αρχιερεα των προσφορων ημων τον προστατην] pontificem et advocatum precum nostrarum L (c. 40 2 προσφορα durch oblatio übersetzt) | **12** δια τουτου] δια τουτο S (hier u. Z. 13 u. 14) | **13** ατενιζομεν] CL; ατενισωμεν A; ατενισωμεν (bez. ατενιζομεν) oder ατενισομεν S | των ουρανων] add. Dei L | ενοπτριζομεθα] S hat wieder entw. Conj. oder Fut. Ind. | **14** δια τουτου] add. και S | **15** ηνεωχθησαν] A; ανεωχθησαν C | ημων] AC; nobis L: υμων S | **16** ασυνετος και εσκοτωμενη] umstellend L: tenebrosa et sine sensu | εσκοτωμενη] AC; εσκοτισμενη Clem. | αναθαλλει] refloruit L | εις το φως] LS Clem: εις το θαυμαστον αυτου φως A; εις το θαυμαστον φως C | **17** ο δεσποτης] Deus L | της αθανατου γνωσεως] AC Clem.; immortalitatis scientiae L (wahrsch. aus immortalis scientiae verschrieben); θανατου γνωσεως S | **18** ος ων . . . μειζων εστιν] L übersetzt, als hätte er gehabt: ος εστιν . . . μειζων.

ἐστὶν ἀγγέλων ὅσῳ διαφορώτερον ὄνομα κεκληρονόμηκεν. 3. γέγραπται γὰρ οὕτως· Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. 4. ἐπὶ δὲ τῷ υἱῷ αὐτοῦ οὕτως εἶπεν ὁ δεσπότης· Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε· αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς. 5. καὶ πάλιν λέγει πρὸς αὐτόν· Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. 6. τίνες οὖν οἱ ἐχθροί; οἱ φαῦλοι καὶ ἀντιτασσόμενοι τῷ θελήματι αὐτοῦ.

XXXVII. Στρατευσώμεθα οὖν, ἄνδρες ἀδελφοί, μετὰ πάσης ἐκτενείας ἐν τοῖς ἀμώμοις προστάγμασιν αὐτοῦ. 2. κατανοήσωμεν τοὺς στρατευομένους τοῖς ἡγουμένοις ἡμῶν, πῶς εὐτάκτως, πῶς εὐείκτως, πῶς ὑποτεταγμένως ἐπιτελοῦσιν τὰ διατασσόμενα. 3. οὐ πάντες εἰσὶν ἔπαρχοι οὐδὲ χιλίαρχοι οὐδὲ ἑκατόνταρχοι οὐδὲ πεντηκόνταρχοι οὐδὲ τὸ καθεξῆς, ἀλλ' ἕκαστος ἐν τῷ ἰδίῳ τάγματι τὰ ἐπιτασσόμενα ὑπὸ τοῦ βασιλέως καὶ τῶν ἡγουμένων ἐπιτελεῖ. 4. οἱ μεγάλοι δίχα τῶν μικρῶν οὐ δύνανται εἶναι, οὔτε οἱ μικροὶ δίχα τῶν μεγάλων· σύγκρασίς τίς ἐστιν ἐν πᾶσιν, καὶ ἐν † ἀλλήλοις † χρῆσις. 5. λάβωμεν τὸ σῶμα ἡμῶν· ἡ κεφαλὴ δίχα τῶν ποδῶν οὐδέν ἐστιν, οὕτως

3) Ps. 103 4. Hebr. 1 7. — 4) Ps. 2 7 sq. Hebr. 1 5. — 5) Ps. 109 1. Hebr. 1, 13. — XXXVII, 5) I Cor. 12 12 sqq.

1 διαφορωτερον] praecellentem L | ονομα κεκληρονομηκεν] A; κεκλ. ονομα CL (Hebr. 1 4) | **2** ουτως] om. L | **3** πυρος φλογα] A; φλογα πυρος C; dub. S; L (ignem urentem) citiert nicht nach Hebr., sondern nach LXX (πυρ φλεγον) | επι] ad L (wie Z. 6) | **4** ο δεσποτης] om. L | **7** υποποδιον των ποδων] sub pedibus L | **8** εχθροι] add. Dei L | τω θεληματι αυτου] τω θεληματι τω θελημα .... A | **11** αμωμοις] eminentibus L (aus sine maculis verderbt?) | **12** ημων] om. L | πως ευτακτως ..... επιτελουσιν] quam mansuete obaudiunt et jussa faciunt L (der Fehler sicher mitverschuldet durch das sechsfache Homöoteleuton) | **13** ευεικτως] A (nach Tisch.; Lightf. will ευεικτικως lesen), leniter S; εκτικως C | επιτελουσιν] A; τελουσιν C; dub. LS | τα διατασσομενα] AC; praem. παντα S; add. illis L | **14** ου] et non L | επαρχοι] S hat υπαρχοι als griech. Fremdwort, doch darum muss nicht in seiner griech. Vorlage dies Wort gestanden haben | **15** πεντηκονταρχοι ουδε το καθεξης] quinquagenarii nec decuriones nec de inquis ceteri L | **16** επιτασσομενα] υποτασσομενα C | **19** εν αλληλοις χρησις] L (aliud alio opus est); εν τουτοις χρησις ACS (vgl. Prol. S. 59) | **20** ουδεν εστιν] A u. wahrsch. LS; εστιν ουδεν C | ουτως] om. L.

οὐδὲ οἱ πόδες ὅλα τῆς κεφαλῆς· τὰ δὲ ἐλάχιστα μέλη τοῦ σώματος ἡμῶν ἀναγκαῖα καὶ εὔχρηστά εἰσιν ὅλῳ τῷ σώματι· ἀλλὰ πάντα συνπνεῖ καὶ ὑποταγῇ μιᾷ χρῆται εἰς τὸ σώζεσθαι ὅλον τὸ σῶμα.

XXXVIII. Σωζέσθω οὖν ἡμῶν ὅλον τὸ σῶμα ἐν Χριστῷ Ἰησοῦ, καὶ ὑποτασσέσθω ἕκαστος τῷ πλησίον αὐτοῦ, καθὼς ἐτέθη ἐν τῷ χαρίσματι αὐτοῦ. 2. ὁ ἰσχυρὸς τημελείτω τὸν ἀσθενῆ, ὁ δὲ ἀσθενὴς ἐντρεπέτω τὸν ἰσχυρόν· ὁ πλούσιος ἐπιχορηγείτω τῷ πτωχῷ, ὁ δὲ πτωχὸς εὐχαριστείτω τῷ θεῷ ὅτι ἔδωκεν αὐτῷ δι' οὗ ἀναπληρωθῇ αὐτοῦ τὸ ὑστέρημα. ὁ σοφὸς ἐνδεικνύσθω τὴν σοφίαν αὐτοῦ μὴ λόγοις μόνον ἀλλ' ἐν ἔργοις ἀγαθοῖς· ὁ ταπεινόφρων μὴ ἑαυτῷ μαρτυρείτω, ἀλλ' ἑάτω ὑφ' ἑτέρου ἑαυτὸν μαρτυρεῖσθαι· ὁ ἁγνὸς ἐν τῇ σαρκὶ μὴ ἀλαζονευέσθω, γινώσκων ὅτι ἕτερός ἐστιν ὁ ἐπιχορηγῶν αὐτῷ τὴν ἐγκράτειαν. 3. Ἀναλογισώμεθα οὖν, ἀδελφοί, ἐκ ποίας ὕλης ἐγενήθημεν, ποῖοι καὶ τίνες εἰσήλθαμεν εἰς τὸν κόσμον· ἐκ ποίου τάφου καὶ σκότους ὁ πλάσας ἡμᾶς καὶ δημιουργήσας εἰσήγαγεν εἰς τὸν κόσμον αὐτοῦ, προετοιμάσας τὰς εὐεργεσίας αὐτοῦ πρὶν ἡμᾶς γεννηθῆναι. 4. ταῦτα οὖν πάντα

1 ελαχιστα] minutiora L (cf. die Comparative I Cor. 12 23 ff.) | **2** αναγκαια] praem. quamvis L | **3** παντα] om. L | συνπνει] A; συμπνει C | χρηται] A; χραται C | **5** ημων] nobis L | **6** Ιησου] AL; om. CS | καθως] add. και A | **7** τημελειτω] μητμμελειτω A (μη ατημελειτω die Editionen vor Bryen.) | **8** εντρεπετω] A; εντρεπεσθω C | **10** αυτῳ] add. Deus L | αναπληρωθῃ] ανεπληρωθη L (impletum est) | **11** λογοις] L Clem.; εν λογοις AC; dub. S | μονον] L Clem.; om. ACS | αλλ] sed et L | **12** εν εργοις] A Clem.; εργοις CL; dub. S | ταπεινοφρων] C Clem.; ταπεινοφρονων A u. S (?); dub. L | μη εαυτῳ μαρτυρειτω] AC; μαρτυρειτω μη εαυτῳ Clem.; μη αυτος εαυτῳ μαρτυρειτω anscheinend L | **13** εατω] εν τω Clem. | υφ ετερου εαυτον] A u. anscheinend L; υφ ετερου αυτον Clem.; εαυτον υφ ετερου C; S übersetzt den Satz: sed ab aliis testimonium detur super ipso (μαρτυρεισθω offenbar); L wendet den Infin. Pass. ins Activum: ut alter eum laudet | εν] AC; om. Clem.; dub. S | εν τῃ σαρκι] om. L | σαρκι] add. . . . . και A (was Laurent, dem Lightf. folgt, veranlasst, hinter σαρκι ein ητω και zu lesen) | **14** ετερος] Deus L | **15** ουν] om. L | **16** ποιοι και τινες] AC; τινες και ποιοι L (qui et quales); ποιοι S | εισηλθαμεν] A; εισηλθομεν C | τον κοσμον] hunc mundum L | **17** ο πλασας ημας και δημιουργησας] L umgekehrt ο δημιουργησας και πλασας ημας (qui creavit et finxit nos) | **18** τον κοσμον] hunc mundum S | αυτου] om. L | προετοιμασας] add. nobis L | τας ευεργεσιας αυτου] om. αυτου, add. omnia L | **19** ουν] om. L | παντα] add. quae L (α, der letzte Buchstabe von παντα, wiederholt).

ἐξ αὐτοῦ ἔχοντες ὀφείλομεν κατὰ πάντα εὐχαριστεῖν αὐτῷ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

XXXIX. Ἄφρονες καὶ ἀσύνετοι καὶ μωροὶ καὶ ἀπαίδευτοι χλευάζουσιν ἡμᾶς καὶ μυκτηρίζουσιν, ἑαυτοὺς βουλόμενοι ἐπαίρεσθαι ταῖς διανοίαις αὐτῶν. 2. τί γὰρ δύναται θνητός; ἢ τίς ἰσχὺς γηγενοῦς; 3. γέγραπται γάρ· Οὐκ ἦν μορφὴ πρὸ ὀφθαλμῶν μου, ἀλλ' ἢ αὔραν καὶ φωνὴν ἤκουον· 4. Τί γάρ; μὴ καθαρὸς ἔσται βροτὸς ἔναντι κυρίου; ἢ ἀπὸ τῶν ἔργων αὐτοῦ ἄμεμπτος ἀνήρ; εἰ κατὰ παίδων αὐτοῦ οὐ πιστεύει, κατὰ δὲ ἀγγέλων αὐτοῦ σκολιόν τι ἐπενόησεν· 5. οὐρανὸς δὲ οὐ καθαρὸς ἐνώπιον αὐτοῦ· ἔα δέ, οἱ κατοικοῦντες οἰκίας πηλίνας, ἐξ ὧν καὶ αὐτοὶ ἐκ τοῦ αὐτοῦ πηλοῦ ἐσμέν. ἔπαισεν αὐτοὺς σητὸς τρόπον, καὶ ἀπὸ πρωΐθεν ἕως ἑσπέρας οὐκ ἔτι εἰσίν· παρὰ τὸ μὴ δύνασθαι αὐτοὺς ἑαυτοῖς βοηθῆσαι ἀπώλοντο· 6. ἐνεφύσησεν αὐτοῖς, καὶ ἐτελεύτησαν παρὰ τὸ μὴ ἔχειν αὐτοὺς σοφίαν. 7. ἐπικάλεσαι δέ, εἴ τίς σου ὑπακούσεται, ἢ εἴ τινα ἁγίων ἀγγέλων ὄψῃ· καὶ γὰρ ἄφρονα ἀναιρεῖ ὀργή, πεπλανημένον δὲ θανατοῖ ζῆλος. 8. ἐγὼ δὲ ἑώρακα ἄφρονας ῥίζας βάλλοντας, ἀλλ' εὐθέως ἐβρώθη αὐτῶν ἡ δίαιτα. 9. πόρρω γένοιντο οἱ υἱοὶ αὐτῶν ἀπὸ σωτηρίας· κολαβρισθείησαν ἐπὶ θύραις ἡσσόνων, καὶ οὐκ ἔσται ὁ ἐξαιρούμενος· ἃ γὰρ ἐκείνοις ἡτοίμασται, δίκαιοι ἔδονται· αὐτοὶ δὲ ἐκ κακῶν οὐκ ἐξαίρετοι ἔσονται.

XXXIX, 3) Job. 4 16—18. — 5) Job. 15 15. 4 19—5 5.

1 *εξ αυτου*] a Deo L | *κατα παντα*] om. S | **2** *δοξα*] honor, majestas L | **3** *αφρονες ..... απαιδευτοι*] *αφρονες και απαιδευτοι και μωροι* C **4** *ημας*] om. L | *μυκτηριζουσιν*] *μυκτηριζουσιν* A | **5** *ταις διανοιαις*] cordibus L (*καρδιαις*) | **6** *γηγενους*] terrigenis L (*γηγενεσιν*?) | *ουκ*] praem. et L | **7** *καθαρος*] corruptor S (ܚܒܠܐ; *καθαιρετης* oder *φθορος*?) | *εσται*] *εστιν* S **8** *εναντι*] A (LXX ℵA); *εναντιον* C (LXX B) | *ει*] AC; *η* S; om. L | **9** *παιδων*] operum S (falsche Punctation) | *αυτου* 1°] A; *εαυτου* C | *ου*] om. S *πιστευει*] *πιστευσει* S | **10** *εα δε οι κατοικουντες*] *εα δε των κατοικουντων* L (remittit autem inhabitantium) | **11** *εξ ων ..... εσμεν*] *εξ ου και αυτοι εκ του αυτου πηλου εσμεν* L (ex quo et ipsi luto sumus) | *επαισεν αυτους*] *επεσον αυτου* S | **12** *σητος τροπον*] *σητου τροπος* A | *ετι*] om. S | **13** *αυτοις*] eos L (*αυτους* LXX ℵ*) | **15** *ει*] *η* S | *σου*] CL (LXX A); *σοι* AS (LXX ℵB) | *ουχ*] AL; *ουκει* C; dub. S | **16** *εγω δε*] om. *δε* S | **17** *ριζας*] radicem L (*ριζαν*?) | *βαλλοντας*] C u. anscheinend LS (LXX); *βαλοντας* A | *ευθεως*] A; *ευθυς* C (v. l. LXX) | **19** *κολαβρισθειησαν*] precipitentur autem L | **20** *ησσονων*] infimorum L | *εκεινοις ητοιμασται*] AC; *εκεινοι ητοιμασαν* LS (mehr nach LXX).

XL. *Προδήλων οὖν ἡμῖν ὄντων τούτων, καὶ ἐγκεκυφότες εἰς τὰ βάθη τῆς θείας γνώσεως, πάντα τάξει ποιεῖν ὀφείλομεν ὅσα ὁ δεσπότης ἐπιτελεῖν ἐκέλευσεν κατὰ καιροὺς τεταγμένους· 2. τάς τε προσφορὰς καὶ λειτουργίας οὐκ εἰκῇ ἢ ἀτάκτως ἐκέλευσεν γίνεσθαι, ἀλλ' ὡρισμένοις καιροῖς καὶ ὥραις· 3. ποῦ τε καὶ διὰ τίνων ἐπιτελεῖσθαι θέλει, αὐτὸς ὥρισεν τῇ ὑπερτάτῳ αὐτοῦ βουλήσει, ἵν' ὁσίως πάντα γινόμενα ἐν εὐδοκήσει εὐπρόσδεκτα εἴη τῷ θελήματι αὐτοῦ. 4. Οἱ οὖν τοῖς προστεταγμένοις καιροῖς ποιοῦντες τὰς προσφορὰς αὐτῶν εὐπρόσδεκτοί τε καὶ μακάριοι· τοῖς γὰρ νομίμοις τοῦ δεσπότου ἀκολουθοῦντες οὐ διαμαρτάνουσιν. 5. τῷ γὰρ ἀρχιερεῖ ἴδιαι λειτουργίαι δεδομέναι εἰσίν, καὶ τοῖς ἱερεῦσιν ἴδιος ὁ τόπος προστέτακται, καὶ Λευίταις ἴδιαι διακονίαι ἐπίκεινται· ὁ λαϊκὸς ἄνθρωπος τοῖς λαϊκοῖς προστάγμασιν δέδοται.*

XLI. *Ἕκαστος ἡμῶν, ἀδελφοί, ἐν τῷ ἰδίῳ τάγματι εὐαρεστείτω θεῷ ἐν ἀγαθῇ συνειδήσει ὑπάρχων, μὴ παρεκβαίνων τὸν ὡρισμένον τῆς λειτουργίας αὐτοῦ κανόνα, ἐν σεμνότητι. 2. Οὐ πανταχοῦ, ἀδελφοί, προσφέρονται θυσίαι ἐνδελεχισμοῦ*

1 *ημιν οντων*] AC; *οντων ημιν* Clem. | *τουτων*] omnia L (*παντων*) | *τουτων*] add. *αδελφοι* S | *εγκεκυφοτες*] *εκκεκυφοτες* Clem. | *εγκεκυφοτες*] prospexistis L (*εγκεκυφατε*) | **2** *τα βαθη*] latitudinem L | **3** *οσα*] sicut S (*ως*) | *δεσποτης*] L übersetzt hier u. Z. 10 dies Wort mit paterfamilias; las er *οικοδεσποτης*? | **4** *τε*] enim L | *λειτουργιας*] LS; add. *επιτελεισθαι και* AC | **5** *αλλ*] A; *αλλα* C | *ωραις· που τε*] *ωραις τε που* S | **6** *θελει*] voluit L | *υπερτατῳ*] magno L | *υπερτατῳ*] A; *υπερτατῃ* C | **7** *ᾳ*] om. L (doch wird ut einzufügen sein) | *παντα*] LS; *παντα τα* AC | *εν ευδοκησει ευπροσδεκτα ειη*] *ενευδοκησει ευπροσδεκτα ειναι* S (velit ut acceptibilia sint) | **8** *ειη*] add. *παντα* C | *προστεταγμενοις*] A; *προσταγεισι* C | **9** *αυτων*] om. L | *ευπροσδεκτοι*] benedicti L (*ευλογητοι*) | **10** *νομιμοις*] legibus L (*νομοις*) **11** *ου*] nihil L (*ουδεν*?) | *τω . . αρχιερει*] *τοις . . αρχιερευσιν* S | **12** *ο τοπος*] A; *τοπος* C | *ιδιος ο τοπος*] S scheint gelesen zu haben *ιδιοις τοποις* | **13** *Λευιταις . . . . . επικειται*] AC; leuitis suum ministerium propositum sit L (*Λευιταις ιδια διακονια επικεισθω*, doch wird sit wohl in est zu ändern sein); levitae in ministeriis propriis ponuntur S | **14** *δεδοται*] *δεδεται* A und alle Editionen | **15** *ημων*] *υμων* A | *εναρεστειτω*] *ευχαριστειτω* A (dass *εναρεστειτω* die richtige Lesart ist, folgt auch, wie Harnack, Texte u. Unters. II 5 S. 26, gezeigt hat, aus dem Zitate unserer Stelle in der Quelle B der apostolischen Kirchenordnung: *εκαστος εν τω ιδιω τοπω αρεσκειτω τω θεω*. 62 2 hat C die nämliche Verwechselung wie hier A) | **16** *θεῳ*] A; *τω θεῳ* C; Domino L | *συνειδησει*] *συνειδησιν* A | *μη παρεκβαινων*] et perficiens L **18** *αδελφοι*] dilecti L (*αγαπητοι*) | *προσφερονται*] om. S | *ενδελεχισμου*] *ενδελεχησμον* C.

ἢ εὐχῶν ἢ περὶ ἁμαρτίας καὶ πλημμελείας, ἀλλ᾽ ἢ ἐν Ἱερουσαλὴμ μόνῃ· κἀκεῖ δὲ οὐκ ἐν παντὶ τόπῳ προσφέρεται, ἀλλ᾽ ἔμπροσθεν τοῦ ναοῦ πρὸς τὸ θυσιαστήριον, μωμοσκοπηθὲν τὸ προσφερόμενον διὰ τοῦ ἀρχιερέως καὶ τῶν προειρημένων λειτουργῶν. 3. οἱ οὖν παρὰ τὸ καθῆκον τῆς βουλήσεως αὐτοῦ ποιοῦντές τι, θάνατον τὸ πρόστιμον ἔχουσιν. 4. Ὁρᾶτε, ἀδελφοί· ὅσῳ πλείονος κατηξιώθημεν γνώσεως, τοσούτῳ μᾶλλον ὑποκείμεθα κινδύνῳ.

XLII. Οἱ ἀπόστολοι ἡμῶν εὐηγγελίσθησαν ἀπὸ τοῦ κυρίου Ἰησοῦ Χριστοῦ, Ἰησοῦς ὁ Χριστὸς ἀπὸ τοῦ θεοῦ ἐξεπέμφθη. 2. ὁ Χριστὸς οὖν ἀπὸ τοῦ θεοῦ, καὶ οἱ ἀπόστολοι ἀπὸ τοῦ Χριστοῦ· ἐγένοντο οὖν ἀμφότερα εὐτάκτως ἐκ θελήματος θεοῦ. 3. παραγγελίας οὖν λαβόντες καὶ πληροφορηθέντες διὰ τῆς ἀναστάσεως τοῦ κυρίου Ἰησοῦ Χριστοῦ καὶ πιστωθέντες ἐν τῷ λόγῳ τοῦ θεοῦ, μετὰ πληροφορίας πνεύματος ἁγίου ἐξῆλθον εὐαγγελιζόμενοι τὴν βασιλείαν τοῦ θεοῦ μέλλειν ἔρχεσθαι. 4. κατὰ χώρας οὖν καὶ πόλεις κηρύσσοντες † καὶ τοὺς ὑπακούοντας τῇ βουλήσει τοῦ θεοῦ βαπτίζοντες † καθίστανον τὰς ἀπαρχὰς αὐτῶν, δοκιμάσαντες τῷ πνεύματι, εἰς ἐπισκόπους καὶ

1 *ευχων*] A; *προσευχων* C | *πλημμελειας*] A; *πλημμεληματων* C | **2** *μονῃ*] om. C | *προσφερεται*] offeruntur sacrificia S | **3** *μωμοσκοπηθεν*] prolatione expiatur L | **4** *δια*] pro L (als ob *υπερ* oder *περι*, offenb. beeinflusst durch Hebr. 5 3, 7 27, 9 7) | *των*] ceterorum S | **5** *οι*] qui L (doch übersetzt er *ποιουντες* mit facientes) | *το καθηκον της βουλησεως*] voluntatem L | *βουλησεως*] A; *βουλης* C; dub. LS | **6** *οσῳ*] add. *γαρ* S | **7** *πλειονος*] plurimae L | *κατηξιωθημεν*] *καταξιωθημεν* A (nach Tisch.; Lightf. dub.) | *μαλλον υποκειμεθα*] AC; *υποκειμεθα μαλλον* Clem. | **9** *ημων*] L (cf. c. 44 1); *ημιν* ACS (vgl. Prol. S. 59) | *ευηγγελισθησαν*] evangelizarunt S | *του κυριου Ιησου Χριστου*] Jhesu Xristo Domino nostro L | **10** *ο Χριστος*] A; om. *ο* C | *εξεπεμφθη . . . . . του θεου*] AS; om. C per hom.; L übersetzt *εξεπεμφθη* noch durch missus, lässt aber dann *ο Χριστος . . . . . θεου και* aus | **13** *λαβοντες*] add. *οι αποστολοι* S | **14** *κυριου*] CL; add. *ημων* A; dub. S | **16** *ευαγγελιζομενοι*] evangelizare L | **17** *και τους υπακουοντας τῃ βουλησει του θεου βαπτιζοντες*] L (eos qui obaudiebant voluntati Dei baptizantes); om. ACS per hom. (*υπακουειν τῃ βουλησει του θεου* ist dem Cl. bekannt cf. c. 9 1; *υπακουοντας* nicht *υποτασσομενους* möchte ich auch mit Rm. 10 16 (1 5), II Thess. 1 8 belegen; das verbindende *και* scheint durch den Zusammenhang gefordert, L ist in diesem Punkte nicht ganz zuverlässig; vgl. z. St. auch Prol. S. 59) | **18** *καθιστανον*] *καθεστανον* A; *καθιστᾶν* C | **19** *τῳ πνευματι*] spiritu sanctos S (oder, wenn das Ribui zu tilgen ist, spiritu sancto).

διακόνους τῶν μελλόντων πιστεύειν. 5. καὶ τοῦτο οὐ καινῶς· ἐκ γὰρ δὴ πολλῶν χρόνων ἐγέγραπτο περὶ ἐπισκόπων καὶ διακόνων. οὕτως γάρ που λέγει ἡ γραφή· Καταστήσω τοὺς ἐπισκόπους αὐτῶν ἐν δικαιοσύνῃ καὶ τοὺς διακόνους αὐτῶν ἐν πίστει.

XLIII. Καὶ τί θαυμαστὸν εἰ οἱ ἐν Χριστῷ πιστευθέντες παρὰ θεοῦ ἔργον τοιοῦτο κατέστησαν τοὺς προειρημένους; ὅπου καὶ ὁ μακάριος πιστὸς θεράπων ἐν ὅλῳ τῷ οἴκῳ Μωϋσῆς τὰ διατεταγμένα αὐτῷ πάντα ἐσημειώσατο ἐν ταῖς ἱεραῖς βίβλοις, ᾧ καὶ ἐπηκολούθησαν οἱ λοιποὶ προφῆται, συνεπιμαρτυροῦντες τοῖς ὑπ᾽ αὐτοῦ νενομοθετημένοις. 2. ἐκεῖνος γάρ, ζήλου ἐμπεσόντος περὶ τῆς ἱερωσύνης καὶ στασιαζουσῶν τῶν φυλῶν ὁποία αὐτῶν εἴη τῷ ἐνδόξῳ ὀνόματι κεκοσμημένη, ἐκέλευσεν τοὺς δώδεκα φυλάρχους προσενεγκεῖν αὐτῷ ῥάβδους ἐπιγεγραμμένας ἑκάστης φυλῆς κατ᾽ ὄνομα· καὶ λαβὼν αὐτὰς ἔδησεν καὶ ἐσφράγισεν τοῖς δακτυλίοις τῶν φυλάρχων, καὶ ἀπέθετο αὐτὰς εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου ἐπὶ τὴν τράπεζαν τοῦ θεοῦ· 3. καὶ κλείσας τὴν σκηνὴν ἐσφράγισεν τὰς κλεῖδας ὡσαύτως καὶ τὰς ῥάβδους, 4. καὶ εἶπεν αὐτοῖς· Ἄνδρες ἀδελφοί, ἧς ἂν φυλῆς ἡ ῥάβδος βλαστήσῃ, ταύτην ἐκλέλεκται ὁ θεὸς εἰς τὸ ἱερατεύειν καὶ λειτουργεῖν αὐτῷ. 5. πρωΐας δὲ γενομένης συνεκάλεσεν πάντα τὸν Ἰσραήλ, τὰς ἑξακοσίας χιλιάδας τῶν ἀνδρῶν, καὶ ἐπεδείξατο τοῖς φυλάρχοις τὰς σφραγῖδας, καὶ ἤνοιξεν τὴν σκηνὴν τοῦ μαρτυρίου καὶ προεῖλεν τὰς ῥάβδους· καὶ εὑρέθη ἡ ῥάβδος Ἀαρὼν οὐ μόνον βεβλαστηκυῖα, ἀλλὰ καὶ καρπὸν ἔχουσα. 6. τί δοκεῖτε, ἀγαπητοί; οὐ προήδει Μωϋσῆς τοῦτο

LXII, 5) Jes. 60 17. — XLIII, 1) Num. 12 7. — 2) Num. 17.

1 *καινως*] *κενως* S | **3** *που*] om. L | **6** *τους προειρημενους*] illos L (c. 41 2 und 44 2 übersetzt er vollständiger illorum predictorum und illos supradictos) | **7** *θεραπων*] om. L | **9** *επηκολουθησαν*] AL (obsecuti sunt); *ηκολουθησαν* C; dub. S | **11** *των φυλων*] add. *πασων* [*του*] *Ισραηλ* S | **12** *τῳ*] hoc L | *κεκοσμημενῃ*] *κεκοσμημενω* A (L übersetzt übrigens *κεκοσμημειη* mit composita) | **14** *αυτας*] *αυτος* C | **15** *τοις*] AL; *εν τοις* C (Dittogr.); dub. S | *αυτας*] om. L | **16** *του μαρτυριου . . . . . σκηνην*] om. L per hom. | **18** *ραβδους*] *θυρας* S (Lightf.) | **20** *και*] om. L, der *εις το κτλ.* durch in pontificatum deservire illi wiedergibt | **21** *τον*] A; om. C | **22** *επεδειξατο*] . . . *δειξατο* A; *επεδειξε* C | *τας σφραγιδας*] AC; om. LS (vielleicht mit Recht) | **23** *προειλεν*] *προε . . .* A; *προειλε* C | **25** *αγαπητοι*] fratres L.

μέλλειν ἔσεσθαι; μάλιστα ἤδει· ἀλλ' ἵνα μὴ ἀκαταστασία γένηται ἐν τῷ Ἰσραήλ, οὕτως ἐποίησεν, εἰς τὸ δοξασθῆναι τὸ ὄνομα τοῦ ἀληθινοῦ καὶ μόνου· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

XLIV. Καὶ οἱ ἀπόστολοι ἡμῶν ἔγνωσαν διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὅτι ἔρις ἔσται περὶ τοῦ ὀνόματος τῆς ἐπισκοπῆς. 2. διὰ ταύτην οὖν τὴν αἰτίαν πρόγνωσιν εἰληφότες τελείαν κατέστησαν τοὺς προειρημένους, καὶ μεταξὺ ἐπινομὴν ἔδωκαν ὅπως, ἐὰν κοιμηθῶσιν, διαδέξωνται ἕτεροι δεδοκιμασμένοι ἄνδρες τὴν λειτουργίαν αὐτῶν. 3. τοὺς οὖν καταστα θέντας ὑπ' ἐκείνων ἢ μεταξὺ ὑφ' ἑτέρων ἐλλογίμων ἀνδρῶν συνευδοκησάσης τῆς ἐκκλησίας πάσης, καὶ λειτουργήσαντας ἀμέμπτως τῷ ποιμνίῳ τοῦ Χριστοῦ μετὰ ταπεινοφροσύνης, ἡσύχως καὶ ἀβαναύσως, μεμαρτυρημένους τε πολλοῖς χρόνοις ὑπὸ πάντων, τούτους οὐ δικαίως νομίζομεν ἀποβάλλεσθαι τῆς λειτουργίας. 4. ἁμαρτία γὰρ οὐ μικρὰ ἡμῖν ἔσται, ἐὰν τοὺς ἀμέμπτως καὶ ὁσίως προσενεγκόντας τὰ δῶρα τῆς ἐπισκοπῆς ἀποβάλωμεν. 5. μακάριοι οἱ προοδοιπορήσαντες πρεσβύτεροι, οἵτινες ἔγκαρπον καὶ τελείαν ἔσχον τὴν ἀνάλυσιν· οὐ γὰρ εὐλαβοῦνται μή τις αὐτοὺς μεταστήσῃ ἀπὸ τοῦ ἱδρυμένου αὐτοῖς τόπου. 6. ὁρῶμεν γὰρ ὅτι ἐνίους ὑμεῖς μετηγάγετε

1 μελλειν εσεσθαι] fieri L (42 3 u. 4 μελλειν genauer mit incipere übersetzt), in derselben Zeile wird προηδει u. ηδει durch sciebat wiedergegeben | **2** εις το] A u. L (?); ωστε C u. S (?) | **3** μονου] L; add. κυριου C; add. θεου S (der nach Joh. 17 13 τον μονον αληθινον θεον übersetzt; θεου auch Rm 16 27); def. A | **5** κυριου] Χριστου A (ΧΥ statt ΙΧΥ) | **6** εσται] εστιν S (?) | περι] CL (pro nicht de oder super) S (?); επι A | του ονοματος] add. η (aut) L | **7** ουν] AC; om. LS | **8** μεταξυ] μετοξυ A | επινομην] AL (lex); επιδομην C; επι δοκιμην od. επι δοκιμῃ S | **9** εδωκαν] C; εδωκασιν A (woraus einige δεδωκασιν machen) | κοιμηθωσιν] AL; τινες praem. CS (homines ex iis) | **10** ανδρες] om. C | **11** μεταξυ] μετοξυ A | υφ ετερων] a quibusdam L (quidam giebt 3 mal τις und einmal ενιοι wieder) | ανδρων] add. εκλελεγμενους S | **14** ησυχως και] et tacite L | αβαναυσως] αβανασως C | μεμαρτυρημενους] μεμαρτυρημενοις A | τε] om. S | **15** τουτους] add. ουν S | δικαιως] debere L (δειν?) | αποβαλλεσθαι] CL; αποβαλεσθαι A; S hat auch ein actives Verbum in der Übersetzung | **16** μικρα] minimum L | εσται] εστιν C | **18** μακαριοι] add. γαρ S | **19** εγκαρπον] fructum L (καρπον oder verschrieben aus fructuosam) | **20** τον ιδρυμενον αυτοις] illo L (cf. 43 1 τους προειρημενους) | **21** ορωμεν] videamus L | μετηγαγετε] μεταγαγετε A.

καλῶς πολιτευομένους ἐκ τῆς ἀμέμπτως αὐτοῖς τετιμημένης λειτουργίας.

XLV. *Φιλόνεικοι ἔστε, ἀδελφοί, καὶ ζηλωταὶ περὶ τῶν ἀνηκόντων εἰς σωτηρίαν. 2. ἐνκεκύφατε εἰς τὰς ἱερὰς γραφὰς τὰς ἀληθεῖς, τὰς διὰ τοῦ πνεύματος τοῦ ἁγίου. 3. ἐπίστασθε ὅτι οὐδὲν ἄδικον οὐδὲ παραπεποιημένον γέγραπται ἐν αὐταῖς. οὐχ εὑρήσετε δικαίους ἀποβεβλημένους ἀπὸ ὁσίων ἀνδρῶν. 4. ἐδιώχθησαν δίκαιοι, ἀλλ᾽ ὑπὸ ἀνόμων· ἐφυλακίσθησαν, ἀλλ᾽ ὑπὸ ἀνοσίων· ἐλιθάσθησαν ὑπὸ παρανόμων· ἀπεκτάνθησαν ὑπὸ τῶν μιαρὸν καὶ ἄδικον ζῆλον ἀνειληφότων. 5. ταῦτα πάσχοντες εὐκλεῶς ἤνεγκαν. 6. Τί γὰρ εἴπωμεν, ἀδελφοί; Δανιὴλ ὑπὸ τῶν φοβουμένων τὸν θεὸν ἐβλήθη εἰς λάκκον λεόντων; 7. ἢ Ἀνανίας καὶ Ἀζαρίας καὶ Μισαὴλ ὑπὸ τῶν θρησκευόντων τὴν μεγαλοπρεπῆ καὶ ἔνδοξον θρησκείαν τοῦ ὑψίστου κατείρχθησαν εἰς κάμινον πυρός; μηδαμῶς τοῦτο γένοιτο. τίνες οὖν οἱ ταῦτα δράσαντες; οἱ στυγητοὶ καὶ πάσης κακίας πλήρεις εἰς τοσοῦτο ἐξήρισαν θυμοῦ, ὥστε τοὺς ἐν ὁσίᾳ καὶ ἀμώμῳ προθέσει δουλεύοντας τῷ θεῷ εἰς αἰκίαν περιβαλεῖν,*

XLV, 6) Dan. 6 16 sq. — 7) Dan. 3 19 sqq.

1 *πολιτευομενους*] AS; *πολιτευσαμενους* C; dub. L | *αμεμπτως*] om. S | *τετιμημενης*] facto L (wofür Morin functo liest mit Berufung auf Tert. Praescr. 29: tot ministeria perperam functa) | **3** *φιλονεικοι*] prudentes L (*φρονιμοι* oder *συνετοι*, was vielleicht richtig) | *ἔστε*] CL; S übersetzt einen Indicativ; dub. A | *των ανηκοντων*] CL; . . *ανηκοντων* A; *μη ανηκοντων* S | **4** *ενκεκυφατε*] C (doch *εγκεκυφατε*) L; *εν . . . τε* A; *ει ενκεκυφατε* S | *ιερας*] om. A | **5** *τας* 2^{0}] quas L | *επιστασθε*] *επιτασθαι* A | *επισταθε . . . . . αυταις*] L knüpft mit seinem Relativum quas diesen Satz als Nebensatz an den vorhergehenden | **6** *γεγραπται*] AS; *γεγραπτο* C; est L (scriptum konnte hinter fictum leicht ausfallen | **7** *ευρησετε*] *ευρισκετε* S (?) | **8** *εφυλακισθησαν, αλλ υπο ανοσιων*] om. L | **9** *υπο παρανομων*] *αλλ υπο παρανομων* S | **10** *υπο*] A; *απο* C; dub LS; praem. *αλλ* S | *μιαρον*] CL; *μιαρων* AS | *αδικον*] *αδικων* S | *ταυτα*] *και ταυτα* S | **11** *πασχοντες*] passi L | *ευκλεως*] fortiter L | *ειπωμεν*] *ειπω* S; *ειπομεν* A; dicimus L; *ειποιμεν* C | *αδελφοι*] *αγαπητοι* L | **14** *του υψιστου*] *του κυριου* S (ܡܪܝܐ für ܥܠܝܐ) | **15** *κατειρχθησαν*] A; *καθειρχθησαν* C | **16** *στυγητοι*] *στυητοι* A | **17** *εις*] om. C | **18** *αικιαν*] poenas L (so wird 6 2 *αικισματα* übersetzt) | *περιβαλειν*] AC; immittere L (was freilich 55 6 das von Lightf. geforderte *παραβαλλειν* wiedergiebt; ob aber L auch hier *παραβαλειν* las, ist darum keineswegs schon entschieden. Gegen Lightf. Bedenken hinsichtlich der Singularität dieses Gebrauches von *περιβαλλειν* (. . I cannot find any parallel) vgl. Euseb. IX 1 5: *εις τοσουτον κινδυνον τους ανθρωπους περιβαλλειν*); jaciant S.

μὴ εἰδότες ὅτι ὁ ὕψιστος ὑπέρμαχος καὶ ὑπερασπιστής ἐστιν τῶν ἐν καθαρᾷ συνειδήσει λατρευόντων τῷ παναρέτῳ ὀνόματι αὐτοῦ· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν. 8. οἱ δὲ ὑπομένοντες ἐν πεποιθήσει δόξαν καὶ τιμὴν ἐκληρονόμησαν, ἐπήρθησάν τε καὶ ἔγγραφοι ἐγένοντο ἀπὸ τοῦ θεοῦ ἐν τῷ μνημοσύνῳ αὐτοῦ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

XLVI. Τοιούτοις οὖν ὑποδείγμασιν κολληθῆναι καὶ ἡμᾶς δεῖ, ἀδελφοί. 2. γέγραπται γάρ· Κολλᾶσθε τοῖς ἁγίοις, ὅτι οἱ κολλώμενοι αὐτοῖς ἁγιασθήσονται. 3. καὶ πάλιν ἐν ἑτέρῳ τόπῳ λέγει· Μετὰ ἀνδρὸς ἀθῴου ἀθῷος ἔσῃ, καὶ μετ' ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ, καὶ μετὰ στρεβλοῦ διαστρέψεις. 4. κολληθῶμεν οὖν τοῖς ἀθῴοις καὶ δικαίοις· εἰσὶν δὲ οὗτοι ἐκλεκτοὶ τοῦ θεοῦ. 5. Ἵνατί ἔρεις καὶ θυμοὶ καὶ διχοστασίαι καὶ σχίσματα πόλεμός τε ἐν ὑμῖν; 6. ἢ οὐχὶ ἕνα θεὸν ἔχομεν καὶ ἕνα Χριστὸν καὶ ἓν πνεῦμα τῆς χάριτος τὸ ἐκχυθὲν ἐφ' ἡμᾶς; καὶ μία κλῆσις ἐν Χριστῷ; 7. ἵνατί διέλκομεν καὶ διασπῶμεν τὰ μέλη τοῦ Χριστοῦ καὶ στασιάζομεν πρὸς τὸ σῶμα τὸ ἴδιον, καὶ εἰς τοσαύτην ἀπόνοιαν ἐρχόμεθα ὥστε ἐπιλαθέσθαι ἡμᾶς ὅτι μέλη ἐσμὲν ἀλλήλων; μνήσθητε τῶν λόγων τοῦ κυρίου Ἰησοῦ· 8. εἶπεν γάρ· Οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ· καλὸν ἦν αὐτῷ εἰ μὴ ἐγεννήθη, ἢ ἕνα τῶν ἐκλεκτῶν μου σκανδαλίσαι· κρεῖττον ἦν αὐτῷ περιτεθῆναι μύλον καὶ καταποντισθῆναι εἰς τὴν θάλασσαν, ἢ ἕνα τῶν ἐκλεκτῶν μου διαστρέψαι. 9. τὸ

XLVI, 2) unde? — 3) Ps. 17 26 sq. — 8) Mt. 26 24. 18 6. Mc. 9 42. Luc. 17 2.

1 *υπερμαχος και υπερασπιστης*] L hat nur protector | **2** *συνειδησει*] corde L | **3** *δοξα*] add. per Dominum nostrum Jhesum Xristum L | *των αιωνων*] om. C | *οι δε υπομενοντες . . .* bis *αμην* (Z. 6) om. L per hom. **5** *εγγραφοι*] CS (der *εγγραφοι εγενοντο* mit scripti sunt wiedergiebt); *επαφροι* A | **6** *αυτου*] CS; *αυτων* A | *αμην*] AC; om. S | **7** *ουν*] om. S | *και ημας*] nos L | **11** *διαστρεψεις*] L übersetzt, vollständig der Anwendung gemäss, die Cl. dem Citate hier giebt, passiv: perverteris | **12** *του θεου*] a Deo L (ist keine Variante) | **13** *και σχισματα*] om. *και* L | *πολεμος τε*] *πολεμοι τε και μαχαι* S (Jac. 4 1) | **15** *κλησις*] invocatio L (st. vocatio oder *επικλησις*?) | **16** *διελκομεν*] *διελκωμεν* C | **19** *του κυριου Ιησου*] L (Domini Jhesu); *Ιησου του κυριου ημων* A; *του κυριου ημων Ιησου Χριστου* CS (vgl. 32 2) | **20** *καλον*] melius L, als hätte er *καλον . . . μαλλον* gelesen (vgl. Mc. 9 42) | *αυτω*] om. L | *μη*] C Clem.; *ουκ* A | **21** *μυλον*] add. collo ejus L | **22** *την θαλασσαν*] AC; om. *την* Clem. | *των εκλεκτων μου διαστρεψαι*] Clem. LS; *των μικρων μου σκανδαλισαι* AC.

σχίσμα ὑμῶν πολλοὺς διέστρεψεν, πολλοὺς εἰς ἀθυμίαν ἔβαλεν, πολλοὺς εἰς δισταγμόν, τοὺς δὲ πάντας ἡμᾶς εἰς λύπην· καὶ ἐπίμονος ὑμῶν ἐστὶν ἡ στάσις.

XLVII. *Ἀναλάβετε τὴν ἐπιστολὴν τοῦ μακαρίου Παύλου τοῦ ἀποστόλου. 2. † τίνα τρόπον † ὑμῖν ἐν ἀρχῇ τοῦ εὐαγγελίου ἔγραψεν; 3. ἐπ᾽ ἀληθείας πνευματικῶς ἐπέστειλεν ὑμῖν περὶ ἑαυτοῦ τε καὶ Κηφᾶ τε καὶ Ἀπολλώ, διὰ τὸ καὶ τότε προσκλίσεις ὑμᾶς πεποιῆσθαι. 4. ἀλλ᾽ ἡ πρόσκλισις ἐκείνη ἧττονα ἁμαρτίαν ὑμῖν ἐπήνεγκεν· προσεκλίθητε γὰρ ἀποστόλοις μεμαρτυρημένοις καὶ ἀνδρὶ δεδοκιμασμένῳ παρ᾽ αὐτοῖς. 5. νυνὶ δὲ κατανοήσατε τίνες ὑμᾶς διέστρεψαν καὶ τὸ σεμνὸν τῆς περιβοήτου φιλαδελφίας ὑμῶν ἐμείωσαν. 6. αἰσχρά, ἀγαπητοί, καὶ λίαν αἰσχρά, καὶ ἀνάξια τῆς ἐν Χριστῷ ἀγωγῆς, ἀκούεσθαι τὴν βεβαιοτάτην καὶ ἀρχαίαν Κορινθίων ἐκκλησίαν δι᾽ ἓν ἢ δύο πρόσωπα στασιάζειν πρὸς τοὺς πρεσβυτέρους. 7. καὶ αὕτη ἡ ἀκοὴ οὐ μόνον εἰς ἡμᾶς ἐχώρησεν ἀλλὰ καὶ εἰς τοὺς ἑτεροκλινεῖς ὑπάρχοντας ἀφ᾽ ἡμῶν, ὥστε καὶ βλασφημίας ἐπιφέρεσθαι τῷ ὀνόματι κυρίου διὰ τὴν ὑμετέραν ἀφροσύνην, ἑαυτοῖς δὲ κίνδυνον ἐπεξεργάζεσθαι.*

XLVIII. *Ἐξάρωμεν οὖν τοῦτο ἐν τάχει καὶ προσπέσωμεν*

XLVII, 3) I Cor. 1 10 sqq.

2 *δε*] LS; om. AC | *ημας*] *υμας* C | **5** *τινα τροπον*] L (quemadmodum); *τι πρωτον* ACS (vgl. Prol. S. 59) | **7** *εαυτου*] CL (semetipso?); *αυτου* A; dub. S | *τε και Κηφα τε και Απολλω*] A; et Cefae et Apollo L (ob *τε και* oder *και* ist zweifelhaft); *και Κηφα και Απολλω* S; *και Απολλω και Κηφα* C | *προσκλισεις*] *προσκλησεις* C | **8** *αλλ*] A; *αλλα* C; dub. S; L hat et | *προσκλισις*] *προσκλησεις* A; *προσκλησις* C | *ηττονα*] CS; *ηττον* A; om. L | **9** *επηνεγκεν*] C u. anscheinend LS (C übrigens *επηνεγκε*); *προσηνεγκεν* A | *προσεκλιθητε*] *προσεκληθητε* C | *μεμαρτυρημενοις, δεδοκιμασμενῳ*] *δεδοκιμασμενοις, μεμαρτυρημενῳ* C | **10** *παρ αυτοις*] *παρ αυτων* C | *νυνι δε*] nunc vide L (*νυν ιδε*) | **11** *σεμνον*] quietum L (*επιεικες*?) | *περιβοητου*] AC; abundantis L (*πεπληροφορημενης*?); om. S | **12** *αισχρα, αγαπητοι*] AC; turpis, fratres L (der *αισχρα* beidemal und *αναξια* falsch als fem. sing. aufgefasst zu haben scheint); om. S | **13** *Χριστῳ*] add. *Ιησου* S | *αγωγης*] *αγαπης* C | **14** *βεβαιοτατην*] *βεβαιοτητα* S (L übersetzt den Superl. mit einf. stabilitam) | *και*] om. S | **16** *ετεροκλινεις*] alienigenas L (*ετερογενεις*?) | **17** *ημων*] *υμων* C | *βλασφημιας*] blasphemiam L | **18** *εαυτοις δε*] A; *εαυτοις τε* C; vobisque L (dub., denn 57 3 übersetzt er *δε* mit que); et vobis ipsis S | **20** *εν ταχει*] quam celerrime L.

τῷ δεσπότῃ καὶ κλαύσωμεν ἱκετεύοντες αὐτόν, ὅπως ἵλεως γενόμενος ἐπικαταλλαγῇ ἡμῖν καὶ ἐπὶ τὴν σεμνὴν τῆς φιλαδελφίας ἡμῶν καὶ ἁγνὴν ἀγωγὴν ἀποκαταστήσῃ ἡμᾶς. 2. πύλη γὰρ δικαιοσύνης εἰς ζωὴν ἀνεῳγυτά ἐστιν αὕτη, καθὼς γέγραπται· Ἀνοίξατέ μοι πύλας δικαιοσύνης· εἰσελθὼν ἐν αὐταῖς ἐξομολογήσομαι τῷ κυρίῳ. 3. αὕτη ἡ πύλη τοῦ κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ. 4. Πολλῶν οὖν πυλῶν ἀνεῳγυιῶν, ἡ ἐν δικαιοσύνῃ αὕτη ἐστὶν ἡ ἐν Χριστῷ, ἐν ᾗ μακάριοι πάντες οἱ εἰσελθόντες καὶ κατευθύνοντες τὴν πορείαν αὐτῶν ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, ἀταράχως πάντα ἐπιτελοῦντες. 5. ἤτω τις πιστός, ἤτω δυνατὸς γνῶσιν ἐξειπεῖν, ἤτω σοφὸς ἐν διακρίσει λόγων, ἤτω ἁγνὸς ἐν ἔργοις. 6. τοσούτῳ γὰρ μᾶλλον ταπεινοφρονεῖν ὀφείλει, ὅσῳ δοκεῖ μᾶλλον μείζων εἶναι, καὶ ζητεῖν τὸ κοινωφελὲς πᾶσιν, καὶ μὴ τὸ ἑαυτοῦ.

XLIX. Ὁ ἔχων ἀγάπην ἐν Χριστῷ ποιησάτω τὰ τοῦ Χριστοῦ παραγγέλματα. 2. τὸν δεσμὸν τῆς ἀγάπης τοῦ θεοῦ τίς δύναται ἐξηγήσασθαι; 3. τὸ μεγαλεῖον τῆς καλλονῆς αὐτοῦ

XLVIII, 2) Ps. 117 19 sq.

1 ιλεως γενομενος] A; γενομενος ιλεως C; dub. S; L übersetzt, anscheinend verkürzend, ιλεως γενομενος επικαταλλαγη ημιν mit fiat nobis propicius | **2** ημιν] υμιν C | φιλαδελφιας] φιλανθρωπιας Clem. | **3** ημων] AS Clem.; υμων C; om. L | και αγνην] LS Clem.; αγνην AC | ημας] υμας C | **4** εις ζωην ανεῳγυια] CLS; ανεῳγυια εις ζωην A | εστιν αυτη] C u. S (?); αυτη A; est L | **5** ανοιξατε] aperi S | μοι] ουν Clem. | εισελθων] ACL; praem. ινα Clem. S | εξομολογησομαι] CL Clem.; εξομολογησωμαι AS | **7** ουν] τοινυν Clem. Strom. I, 7 38; om. Strom. VI, S 64 | εν δικαιοσυνῃ] ad justitiam L (als ob εις δικαιοσυνην) | **8** η εν] εν S (?) | κατευθυνοντες] L vielleicht κατευθυναντες | **9** οσιοτητι και δικαιοσυνῃ] δικαιοσυνῃ και οσιοτητι L | **10** ητω δυνατος ..... σοφος] der griech. Text von S lautete verderbt: ητω δυνατος, γνωσιν εξει, πονειτω σοφος (Bensly) | **11** διακρισει] διακριακρισει A (Tisch.; Jacobson διακριακρισιν) | ητω αγνος εν εργοις] ACLS; ητω γοργος εν εργοις, ητω αγνος Clem. (Strom. VI, S 65; hingegen Strom. I, 7 38 fehlt ητω αγνος) | **12** τοσουτῳ] ACLS Clem.; τοσουτον Anton. Max. | γαρ] AS Clem.; τις Anton. Max.; om. CL | ταπεινοφρονειν οφειλει] ACL Clem.; οφειλει ταπεινοφρονειν Anton. Max.; dub. S | οσῳ] ACL Clem.; οσον Anton. Max.; dub. S **13** μειζων] AC Clem.; om. Anton. Max. (L übersetzt μαλλον μειζων durch einfaches majorem) | το κοινωφελες] quod commode et utile est L (periphr.) | **14** εαυτου] sibi L (εαυτῳ, parallel zu πασιν) | **15** ποιησατω] A hat nach einigen Editoren τηρησατω, doch Tisch. ποιησατω, dub. Lightf. | **17** καλλονης] scientiae (γνωσεως) L.

τίς ἀρκετὸς ἐξειπεῖν; 4. τὸ ὕψος εἰς ὃ ἀνάγει ἡ ἀγάπη ἀνεκδιήγητόν ἐστιν. 5. ἀγάπη κολλᾷ ἡμᾶς τῷ θεῷ, ἀγάπη καλύπτει πλῆθος ἁμαρτιῶν, ἀγάπη πάντα ἀνέχεται, πάντα μακροθυμεῖ· οὐδὲν βάναυσον ἐν ἀγάπῃ, οὐδὲν ὑπερήφανον· ἀγάπη σχίσμα οὐκ ἔχει, ἀγάπη οὐ στασιάζει, ἀγάπη πάντα ποιεῖ ἐν ὁμονοίᾳ· ἐν τῇ ἀγάπῃ ἐτελειώθησαν πάντες οἱ ἐκλεκτοὶ τοῦ θεοῦ· δίχα ἀγάπης οὐδὲν εὐάρεστον τῷ θεῷ. 6. ἐν ἀγάπῃ προσελάβετο ἡμᾶς ὁ δεσπότης· διὰ τὴν ἀγάπην, ἣν ἔσχεν πρὸς ἡμᾶς, τὸ αἷμα αὐτοῦ ἔδωκεν ὑπὲρ ἡμῶν Ἰησοῦς Χριστὸς ὁ κύριος ἡμῶν ἐν θελήματι θεοῦ, καὶ τὴν σάρκα ὑπὲρ τῆς σαρκὸς ἡμῶν καὶ τὴν ψυχὴν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

L. Ὁρᾶτε, ἀγαπητοί, πῶς μέγα καὶ θαυμαστόν ἐστιν ἡ ἀγάπη, καὶ τῆς τελειότητος αὐτῆς οὐκ ἔστιν ἐξήγησις. 2. τίς ἱκανὸς ἐν αὐτῇ εὑρεθῆναι, εἰ μὴ οὓς ἂν καταξιώσῃ ὁ θεός; δεώμεθα οὖν καὶ αἰτώμεθα ἀπὸ τοῦ ἐλέους αὐτοῦ ἵνα ἐν ἀγάπῃ εὑρεθῶμεν δίχα προσκλίσεως ἀνθρωπίνης, ἄμωμοι. 3. Αἱ γενεαὶ πᾶσαι ἀπὸ Ἀδὰμ ἕως τῆσδε τῆς ἡμέρας παρῆλθον· ἀλλ᾽ οἱ ἐν ἀγάπῃ τελειωθέντες κατὰ τὴν τοῦ θεοῦ χάριν ἔχουσιν χῶρον εὐσεβῶν· οἳ φανερωθήσονται ἐν τῇ ἐπισκοπῇ τῆς βασιλείας τοῦ

XLIX, 5) I Petr. 4 8. I Cor. 13 4. 7.

2 εστιν. αγαπη] AL Clem.; εστιν η αγαπη C, bei dem ebenso wie bei S die Interpungierung der Stelle falsch ist | **3** πληθος] murum S (κιαι) | μακροθυμει] sperat L (ελπιζει I Cor. 13 8) | **7** ευαρεστον] Clem. L; add. εστιν AC (vielleicht aus Dittogr., doch vgl. 21 9); S übersetzt ουδεν . . . . bis θεῳ, als hätte er ουδενι ευαρεστειν εστιν τῳ θεῳ | **8** ημας] υμας C | ο δεσποτης] Dominus omnium L | εσχεν] habet L (εχει?) | **9** εδωκεν] A; δεδωκεν C | υπερ ημων Ιησους Χριστος] Ιησους Χριστος υπερ ημων C | **11** των ψυχων] της ψυχης C | **12** αγαπητοι] fratres L | η αγαπη] A; αγαπη C | **13** αυτης] A Clem.; αυτου C; dub. L (ejus); της αυτης τελειοτητος S (ejusdem perfectionis) | **14** ει μη] add. εν αγαπῃ και S, der übrigens wieder durch falsche Interpungierung die ganze Stelle verdirbt | ους] quem L | αν] add. αυτος Clem. | καταξιωσῃ] A (doch ist dieser schwer zu entziffern) LS Clem.; καταδιωξῃ C | **15** δεωμεθα] LS; δεομεθα C; def. A . . . . θα | ουν] om. L; add. αγαπητοι S | αιτωμεθα] αιτουμεθα C | αυτου] του θεου S | **16** προσκλισεως] A; voluptate L; adhaerentia S; προσκλησεως C | γενεαι] add. δε Clem. | **17** τησδε της ημερας] Clem.; τησδε ημερας A; της ημερας τησδε C; dub. LS | αλλ οι] alii L (αλλοι) | **18** χωρον] ACS; χωραν Clem. u. vielleicht L (municipium, womit 42 4 χωρα übersetzt ist) | **19** οι] add. δε C | φανερωθησονται] palam facti sunt L (εφανερωθησαν?).

Χριστοῦ. 4. *γέγραπται γάρ· Εἰσέλθετε εἰς τὰ ταμεῖα μικρὸν ὅσον ὅσον, ἕως οὗ παρέλθῃ ἡ ὀργὴ καὶ ὁ θυμός μου· καὶ μνησθήσομαι ἡμέρας ἀγαθῆς, καὶ ἀναστήσω ὑμᾶς ἐκ τῶν θηκῶν ὑμῶν.* 5. *Μακάριοί ἐσμεν, ἀγαπητοί, εἰ τὰ προστάγματα τοῦ θεοῦ ἐποιοῦμεν ἐν ὁμονοίᾳ ἀγάπης, εἰς τὸ ἀφεθῆναι ἡμῖν δι' ἀγάπης τὰς ἁμαρτίας.* 6. *γέγραπται γάρ· Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι· μακάριος ἀνὴρ ᾧ οὐ μὴ λογίσηται κύριος ἁμαρτίαν, οὐδέ ἐστιν ἐν τῷ στόματι αὐτοῦ δόλος.* 7. *Οὗτος ὁ μακαρισμὸς ἐγένετο ἐπὶ τοὺς ἐκλελεγμένους ὑπὸ τοῦ θεοῦ διὰ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.*

LI. *Ὅσα οὖν παρεπέσαμεν καὶ ἐποιήσαμεν διά τινας παρεμπτώσεις τοῦ ἀντικειμένου, ἀξιώσωμεν ἀφεθῆναι ἡμῖν· καὶ ἐκεῖνοι δὲ οἵτινες ἀρχηγοὶ στάσεως καὶ διχοστασίας ἐγενήθησαν, ὀφείλουσιν τὸ κοινὸν τῆς ἐλπίδος σκοπεῖν.* 2. *οἱ γὰρ μετὰ φόβου καὶ ἀγάπης πολιτευόμενοι ἑαυτοὺς θέλουσιν μᾶλλον αἰκίαις περιπίπτειν ἢ τοὺς πλησίον· μᾶλλον δὲ ἑαυτῶν κατάγνωσιν φέρουσιν ἢ τῆς παραδεδομένης ἡμῖν καλῶς καὶ δικαίως ὁμοφωνίας.* 3. *καλὸν γὰρ ἄνθρωπον ἐξομολογεῖσθαι περὶ τῶν παραπτωμάτων ἢ σκληρῦναι τὴν καρδίαν αὐτοῦ, καθὼς ἐσκλη-*

L, 4) Jes. 26 20. Ez. 37 12? — 6) Ps. 31 1 sq.

